τοὺς ἐξ αὐτῶν γεγονότας ἀπέτρεψαν τῶν ἀγώνων τῶν περὶ
Τροίαν, ἀλλὰ ζεύς μὲν προεδόσθη τὴν σαρπηδόνος ἐμαρμε
μνῆ· ἡ δὲ θέτις δ' τὴν μεμνόνος, προσεδόθη δ' τὴν κύκνου, θέτις δ' τὴν
ἀχιλλέως, ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνεξέπεμψαν· ἡ
γούμενοι κάλλιον αὐτοῖς εἶναι τεθνάναι μαχομένοις περὶ τῆσ
δ' ἐμαρμένη σαρπηδόν
διὸς θυγατρὸς μᾶλλον· ἢ ζῆν ἀπολειφθεῖσι τῶν περὶ ἐκείνης κιν
δύνων· καὶ τί δεῖ θαυμάζειν ἃ περὶ τῶν παίδων ἔπραξαν· αὐ
τοὶ γὰρ πολὺ μᾶλλον καὶ δυστέραν ἐποιήσαντο τὴν παράτα
ξιν τῆς πρὸς τοὺς γίγαντας αὐτοῖς γενομένης· πρὸς μὲν γὰρ ἐ
κείνους μετ' ἀλλήλων ἐμάχεσαντο· περὶ δὲ ταύτης πρὸς σφᾶς
αὐτοὺς ἐπολέμησαν· εὐλόγως δ' ἐκείνοι ταῦτ' ἔπραξαν· καὶ
γὰρ ἡλικίαν ὑπερβολὰς ἔχω χρήσασθαι περὶ αὐτῶν· κάλ
λουσι γὰρ πλεῖστον μέρος μετέσχηκεν· ὅσ' ἐμνόν τὰ τὸν καὶ τι
μιώτατον καὶ θεῖόν τὸν τῶν ὄντων ἐστί· ῥᾴδιον δὲ διαγνῶναι τὴν δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρίας καὶ σοφίας καὶ δικαιοσύνης μετεχόντων, πολλὰ φανήσεται τιμώμενα

Sarpedon.
Memnon.
Cycnus.
Achilles.

.. f. In bello troiano

Pulchritudo venustissima et honorabilissima et diuinissima entium est

pulchritudine

πρόσθεν

κάλλους τὸ πλεῖστον μέρος μετέσχηκε
τῶν μὲν τοῦ ἀνδρὸς καὶ σοφίας καὶ δικαιοσύνης

#. 1. multa in quae cadit fortitudo. Sapientia. Iustitia. amamus et ipsa sine ipsis uirtutibus, uel magis quam ipsas uirtutes. nihil autem amamus quod pulchritudine carreat

// f. βουλεύομεθα ut statim

Exoptata res — Pulchritudo ~~Helena~~

Consultare — Amor ~~Pulchritudo~~

ιω. ιβ. Τῶν

μᾶλλον, ἢ τούτων ἕκαστον· τῶν δὲ καλλίστων ἀπεστερημένων
οὐδὲν εὑρήσομεν ἀγαπώμενον· ἀλλὰ πάντα καταφρονού
μενα· πλὴν ὅσα τῆς ἰδέας ταύτης κεκοινώνηκε· καὶ τὴν ἀρετὴν
διὰ τοῦτο μάλιστα εὐδοκιμοῦσαν, διότι κάλλιστον τῶν ἐπι
τηδευμάτων ἐστὶν ἐκείνη· ἅπαντι δὲ κἀκεῖθεν ὅσον διαφέρει τῶν
ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν· τῶν
μὲν γὰρ ἄλλων ὧν ἂν ἐν χρείᾳ γενώμεθα, τυχεῖν μόνον βουλό
μεθα· περὶ ἑαυτῶν δὲ, περὶ αὐτῶν, οὐδὲν ἐν τῇ ψυχῇ προσεποιό
θαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγίγνεται, τοσοῦτον μέγεθος
τοῦ βουλεύσασθαι αἱρούμενοι ἔχων, ὅσῳ περ καὶ τὸ πρᾶγμα κρεῖτ
τον ἐστι· καὶ τοῖς μὲν κατὰ σύνεσιν ἢ κατὰ τέχνην προέχουσι,
φθονοῦμεν, ἢν μὴ τοῦ ποιεῖν ἡμᾶς εὖ, καθ' ἑκάστην ἡμέραν προ
σάγωνται· καὶ σφόδρα αὐτοὺς ὀμνύναι καὶ ὁρκοῦσι, τοῖς δὲ
καλοῖς εὐθὺς δεῖ ὅτι ἐσεῖ εὐνοι γιγνόμεθα· καὶ μόνους αὐτοὺς
ὥσπερ τοὺς θεοὺς, οὐκ ἀπαγορεύομεν θεραπεύοντες· ἀλ
λὰ ἡδίον δουλεύομεν τοῖς τοιούτοις ἢ τῶν ἄλλων ἄρχομεν·
πλείω χάριν ἔχοντες τοῖς πολλὰ προστάττουσιν, ἢ τοῖς
μηδὲν ἐπαγγέλλουσι· καὶ τοὺς μὲν ἄλλοις ἐν δυνάμει γιγνο
μένους, λοιδορούμεν· καὶ κολάζομεν· ἀποκαλοῦμεν· τοὺς δὲ
τῶν καλῶν ἐπιτρεύοντας, φιλοκάλους καὶ φιλοπόνους νομίζο
μεν· ἅμα τοσαύτη δὲ εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν
ἰδέαν τὴν τοιαύτην, ὥστε καὶ αὐτῶν τῶν κεκτημένων τὸ κάλ
λος, τοὺς μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους
περὶ τῆς αὐτῶν ἡλικίας, μᾶλλον ἀτιμάζομεν· ἢ τοὺς ἐκ τῶν
ἄλλων σώματα ἐξαμαρτάνοντας· ὅσοι δὲ ἂν τὴν αὐτῶν ὥραν
διαφυλάξωσιν, ἀβασανίστοις τοῖς πόνοις ὡς περὶ ἱερὸν ποιήσαντες,
τούτους ἐκ τὸν ἐπίλοιπον χρόνον τιμῶμεν, ὡς περ τοὺς ὅλην
τὴν πόλιν ἀγαθόν τι δράσαντας· καὶ τί δεῖ τὰς ἀνθρωπίνας δό
ξας λέγοντα διατρίβειν· ἀλλὰ ζεὺς ὁ κρατῶν ἁπάντων ἐν μὲν τοῖς
ἄλλοις τὴν αὐτοῦ δύναμιν ἐνδείκνυται, πρὸς δὲ τὸ κάλλος τα
πεινὸν γενόμενος ἀξιοῖ πλησιάζειν· ἀμφιτρύωνι μὲν γὰρ ἐ
κοιμᾶτο, ὡς ἀλκμήνην ἦλθε· χρυσὸς δ' ἐρυθὲς, δαναὴ συνεγένετο·
κύκνος δ' ἐγένετο, ἕως τοῦ μεσεύοντος κόλπου κατέφυ
γε· τούτῳ δὲ πάλιν ὁμοιωθεῖς, λήδᾳ ἐνέπνευσεν· ἐπὶ δὲ μελά
νιππος, ἀλλὰ μὲν βίας θηρεύμενος φαίνεται τὰς φύσεις τὰς

τῆς ἰδέας ταύτης κεκοινώνηκε.

ἐξ ὧν. de la manera

concilient ad amorem sui
Induant ipsa beneficentiam hor. n. est pro προσάγω

~~προσάγωνται~~ τοῦ εὐποιεῖν

ὄκ ἀπαγορεύομεν

πρὸς τὴν ἰδέαν τὴν τοιαύτην

in codice emendato ἐπιτρέπειν

emendato ὑπάρχειν

Et quid opus est humanas opiniones diutius immorari. Sed Iupiter dominans ubique in alijs quibusdam potentiam suam ostendit: cum pulchritudine ad humilis fabulas dignatus est accingere. Nam amphitryoni assimilatus ad alcmenam venit. Aureus ad fluenti danae coiuit. Cycnus ad fabulam in nemesis sinus confugit. Huic ad ledam spiraunit.

Amphitryo
Alcmene
Danae
Nemesis
Leda

In cygni uersus Iuppiter nemesin cognouit

ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν
ἄλλοι τινὶ δωρούμενοι γιγνομένους

τοιαύτας. τοσούτω δὲ μᾶλλον προέπιμηθοτόκαλλος παρεκό-
μοισ ἢ παρῆμιν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖσ ἑαυτῶν ὑπὸ τοῦ τοῦ
κρατουμένοισ σωτηρίαν ἔχουσι. καὶ πολλὰσ ἄλλισ ἐπιδέ-
ξαντο τῶν ἀθανάτων, αἰθηνᾶ τοῦ κάλλους ἠτιήθησαν· ὧν οὐδεμία
λαθοῦν τὸ γεγενημένον, ὡς αἰσχύνην ἔχον ἐζήτησεν ἀλλὰ καλῶν
ὁμοίων τῶν πεπραγμένων, ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι
περὶ αὐτῶν ἠβουλήθησαν. ἐπιτόμου δὲ τῶν εἰρημένων τεκμήριον.
πλείους γὰρ ἂν εὕροιμεν διὰ τὸ κάλλος ἀθανάτους γεγενημέ-
νους, ἢ διὰ τὰς ἄλλας ἀρετὰς ἁπάσας. ὧν ἐλέγη τοσοῦτον πλέ-
ον ἔσχεν, ὅσῳ περ καὶ τὴν ὄψιν αὐτῶν διήνεγκεν. οὐ γὰρ μόνον
ἀθανασίας ἔτυχεν, ἀλλὰ καὶ τὴν δυναμιν ἰσόθεον λαβοῦσα,
πρῶτον μὲν τοὺς ἀδελφοὺς ἢ δικαίως ἐχομένους ὑπὸ τῆσ πε-
πρωμένης, ὡς θεοὺς ἀνήγαγε. βουλομένη δὲ ἐπίσημον ποιῆσαι τὴν
μεταβολήν, οὕτωσ αὐτοῖς τὰσ τιμὰς ἐμαρύγαξε· δῶκεν, ὥσθ' ὁ-
ρωμένουσ ὑπὸ τῶν ἐν τῇ θαλάττῃ κινδυνευόντων σῴζειν. οἱ τι-
μεσαν εὐσεβῶς αὐτοὺς ἐπικαλεσάμενοι. μετὰ δὲ ταῦτα με-
μελάω τοσαύτην χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν
κινδύνων οὓς δι' ἑκάστην ὑπέμενεν, ὥστε τοῦ γένους ἁπάντοσ
τοῦ πελοπιδῶν διαφθαρέντος, καὶ κακοῖς ἀνηκέστοις περιπε-
σόντος, ὀνόμονον αὐτὸν τῶν συμφορῶν τούτων ἀπήλλαξεν, ἀλ-
λὰ καὶ θεὸν ἀντὶ θνητοῦ ποιήσασα, σύνοικον αὐτῇ καὶ παρέδρον
ἅπαντα τὸν αἰῶνα κατέστησε. καὶ τούτοισ ἔχω τὴν πόλιν
τῶν ἀσαρτιατῶν τὴν μάλιστα τὰ παλαιὰ διασῴζουσαν, ἔργῳ
παρασχεῖν μαρτυροῦσαν· ἐτιγὰρ καὶ νῦν ἐν θεραπείαις τῆς
λακωνικῆς, θυσίας αὐτοῖσ ἁγίους καὶ πατρίους ἐπιτελοῦσιν.
οὐχ ὡσ ἥρωσιν, ἀλλ' ὡς θεοῖς ἀμφοτέροις οὖσιν ἐπεδέξατο δὲ
καὶ τῆσ χορῶν ποιήσεωσ τὴν ἑαυτῆσ δύναμιν· ὅτε μὲν γὰρ ἀρχό-
μενος τῆσ ὁδοῦ ἔβλασφήμησε τι περὶ αὐτῆς, ἀνεστήσαν ὀφθαλ-
μῶν ἀπεστερημένος· ἐπειδὴ δὲ γνοῦσ τὴν αἰτίαν τῆσ συμ-
φορᾶς, τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτοῦ
τὴν αὐτὴν φύσιν κατέστησεν. λέγουσι δὲ τιμεσ καὶ τῶν ὁ-
μηριδῶν, ὥσ ἐπιτάσσαν νυκτὸσ ὁμήρου προστάξαι ποιῆσαι περὶ
τῶν στρατευσαμένων ἐπὶ Τροίαν· βουλομένη τῶν ἐκείνων θα-
υμάτων ζηλωτότερον ἢ τὸν βίον τῶν ἄλλων καταστῆσαι. καὶ μέρος
μέν τι καὶ διὰ τὴν ὁμήρου τέχνην, μάλιστα δὲ διὰ ταύτην, οὕτως

ἡ βουλήθησαν

Tyndarids nautas servat

θεράπναι. V. Iacomis in q colunturdiuinis honoribus Menelaus & helena

Stesichor

παλινῳδία

ἐπαφρόδιτον καὶ παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέσθαι τὴν
ποίησιν. ὥσ οὖν καὶ δίκην λαμβάνειν καὶ χάριν ἀποδοῦναι
δυναμένην, τοὺς μὲν τοῖς χρήμασι προέχοντας, ἀναθήμασι
καὶ θυσίαισ καὶ ταῖς ἄλλαις προσόδοισι λάσκεσθαι καὶ τι-
μᾶν αὐτὴν χρή. τοὺς δὲ φιλοσόφους πρᾶσθαι αὐτὴ λέγω περὶ αὐ-
τῆς ἀξίαν τῶν ὑπαρχόντων ἑκάστη. τοῖς γὰρ πεπαιδευμένοισ
πρέπει τοιαύτας ποιεῖσθαι τὰς ἀπαρχάς. πολὺ δὲ πλείω τὰ
παραλελειμμένα τῶν εἰρημένων ἔστι. καὶ χωρὶς γὰρ τεχνῶν
καὶ φιλοσοφιῶν καὶ τῶν ἄλλων σοφισμάτων ἃς ἔχοι τις ἂν εἰπεῖν
μνήμη καὶ τὸν πόλεμον τὸν τρωικὸν ἀμυνεῖν, δικαίωσ ἂν καὶ τοῦ
μὴ δουλεύειν ἡμᾶς τοῖς βαρβάροις, ἐλένην αὐτὴν αἰτίαν εἶναι νομίζοι-
μεν· εὑρήσομεν γὰρ τοὺς ἕλληνας διὰ ταύτην ὁμονοήσαντασ.
καὶ κοινὴ στρατείαν ἐπὶ τοὺσ βαρβάρουσ ποιησαμένουσ. καὶ τὸ
τεπρῶτον τὴν εὐρωπὴν κατὰ τὴν ἀσίαν τροπαιοστήσασαν.
ἐξῶν τοσαύτησ μεταβολῆσ ἐτύχομεν, ὥστε τὸν μὲν ἐπέκεινα
χρόνον, οἷον δυστυχοῦντεσ ἐν τοῖς βαρβάροισ, τῶν ἑλλήνων ἐπό-
λεων ἡσύχουν ἄρχειν· καὶ δαμάσαι μὲν ἐξ αἰγύπτου φυγόν, ἄργοσ
κατέσχε· κάδμοσ δὲ ὁ σιδώνιοσ θηβῶν ἐβασίλευσε· κάρεσ
δὲ τὰσ νήσουσ κατῴκισε· πέλοπεσ δὲ σύμπασησ, ὁ
ταντάλου πέλοψ ἐκράτησεν· μετὰ δὲ τὸν πόλεμον, το-
σαύτην ἐπίδοσιν τὸ γένοσ ἡμῶν ἔλαβεν, ὥστε καὶ πολλὰσ με-
γάλασ καὶ χώραν πολλὴν ἀφελέσθαι τῶν βαρβάρων· ἣν οὖν
τιν ἐσ βουλωνται ταῦτα ἐπεξεργάζεσθαι καὶ μνήμην, οὐκ ἀπο
ρήσουσιν ἀφορμῆς, ὁθεν ἐλένην ἐξῶν τῶν εἰρημένων ἐξοῦσιν ἐπαι
νεῖν· ἀλλὰ πολλοῖσ καὶ καλοῖσ καὶ καινοῖσ λόγοισ εὐτυχοῦν-
ται περὶ αὐτῆσ.

βούσιρισ. σ.

Τὴν μὲν ἐπιεικείαν τὴν σὴν ὦ πολυκράτεσ καὶ τὴν
τοῦ βίου μεταβολὴν, παραλλάττων πυνθανόμενοσ οἶδα. τῶν δὲ λόγων τιμᾶσ ὧν γεγράφασ αὐτόσ
ὀλιγωρῶ κώσ, ἡδέωσ μὲν ἀνασοι περὶ ὅλησ ἐπαρρη
σίασ ἀμὴν τῆσ παιδεύσεωσ, περὶ ἣν ἡμᾶσ καλῶσ διατρίβειν·
ἡγοῦμαι γὰρ τοῖσ μὲν ἀμαθέσι ὡσ δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας
χρηματίζεσθαι ζητοῦσιν, ἁπάντασ τοὺσ πλείω πεπραγματευ-

δίκην λαμβάνειν
supplicia sumere

καὶ τὰ τῆσ ἀσίασ τρόπαιον ἀνέσωσαν

alter inf

Danaus. ἐπέκεινα χρόνον
Cadmus.
Cares.
Pelops.

τῶν λόγων ὧν γε γράφασ τινάς.

μένους καὶ μᾶλλον ἀνακριβωμένους προσήκειν ἐθελόντας
τοῦτον ἂν φέρειν τὸν ἔραστον· ἐπειδὴ δ' οὔπω περιτέτυχήκα-
μεν ἀλλήλοις, περὶ μὲν τῶν ἄλλων ὁπότερα μὲν ἂν ταὐτὸ συνέλθω
μεν, τοῦθ' ἡμῖν ἐξεσται διὰ πλείονος ποιήσασθαι τὴν συνουσί
αν· ἀν δὲ μὴ τῶν παρόντι δυνάμενοι εὖ ἐργάσασθαι σε, ταῦτα δὲ ὠ
νήθημεν δίδωμι, σοὶ μὲν ἐπιστέλλειν· πρὸς δὲ τοὺς ἄλλους, ὡς οἱ ὀρθῶς ἐμ
λίστα πρὸς ἀκρίβειαν ἀκούσαι· γιγνώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν
μουθετουμένων ἐμφυόμενοι μὴ πρὸς τὰς ὠφελείας ἀποβλέ-
πειν· ἀλλὰ τοσούτῳ χαλεπώτερον ἀκούειν τῶν λεγομένων,
ὅσῳ περ ἂν τις ἀκριβέστερον αὐτῶν ἐξετάζῃ τὰς ἁμαρτίας· ὅ-
μως δ' οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπεχθείαν ταύτην, τοῖς εὐ-
νοικῶς πρὸς τινας ἔχουσιν· ἀλλὰ πειρατέον μεθιστάναι τὴν
δόξαν τῶν οὕτως πρὸς συμβουλεύοντας διακειμένων, εἰδότα
μ ὁμέμενος οὖν, οὐχ ἥκιστα σε μεγαλαυχούμενον, ἐπίτε τὴν βουσί
ριδος ἀπολογίαν, καὶ τὴν σωκράτους κατηγορίαν, πειράσομαι
σοι ποιῆσαι καταφανές, ὅτι τοῦ δέοντος πολὺ ἐν ἀμφοτέροις
τοῖς λόγοις διήμαρτες· ἀπαντῶν γὰρ εἰδότων, ὅτι δεῖ τοὺς
μὲν εὐλογεῖν τινας βουλομένους, πλείω τῶν ὑπαρχόντων ἀγα
θῶν αὐτοῖς τὰ προσόντα ἀποφαίνειν, τοὺς δὲ κατηγο-
ροῦντας τὰ ἁμαρτήματα τούτων ποιεῖν, τοσούτῳ δὲ δεῖ οὕτως κε
χρῆσθαι τοῖς λόγοις, ὥστε ὑπὲρ μὲν βουσίριδος ἀπολογή-
σασθαι φάσκων, οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτὸν διαβο
λῆς ἀπήλλαξας, ἀλλὰ καὶ τηλικαύτην αὐτῷ τὸ μέγεθος πα
ρανομίαν προσῆψας, ἣν οὐκ ἔστ' ὀπῶς ἄν τις ἀποφύγοι τὰ δεινότερα ἐξ
ευρεῖν δυνηθείη. τῶν γὰρ ἄλλων τῶν ἐπιχειρησάντων ἐκείνου λοι
δορεῖν, τοσοῦτο μόνον περὶ αὐτοῦ βλασφημούντων, ὡς εἴθε
τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ κατέστησας αὐτὸν
τοὺς ἀνθρώπους ἠτιάσω· Σωκράτους δὲ κατηγορεῖν ἐ-
χειρήσας, ὥσπερ ἐγκωμιάσας βουλόμενος, ἀλκιβιάδην ἐ-
δώκας αὐτῷ μαθητήν· ὃν οὐ πέπεικεν οὐδὲ κατέστησε πάν
δεινόμενον, ὅτι δὲ πολὺ δίκαιος ἦν ἐγκεῖσθαι τῶν ἄλλων, ἁπάντες ἂν
ὁμολογήσειαν· οἷς γὰρ οὐ τοσοῦτον ἐξουσία τοῖς τελευτήσασι,
βουλεύσασθαι περὶ τῶν εἰρημένων εἰ καὶ περὶ τοὺς ἄλλους πρα
κτέος ἦν, ἀλλ' οὐδὲ τοῖς ὑπὸ σοῦ λεγομένοις οὕτως ἀγανα
κτήσειν, ὥστε μηδεμίας ἂν ἀποστέρεσθαι τιμωρίας· καίτοι

μεθιστάναι τὴν δόξαν

τοσούτῳ δέοντος

οὐχ ὅπως πόποτε πόρ

Busiris pegrinos immolabat

Alcibiades

μαθητὴν

Καίτοι

τοσούτῳ δέοντος τῶν κεχρῆσθαι λόγοις

ὀχ ὅπως

Καίτοι

& si finisset ergo ad hoc mitissimus quod non fuit sed sacrificium de busiride. n. loqt

ἀν. ἀυτὸν

πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ σεμνύνεσθαι προσήκει, τὸν
παρὰ τοῖς λοιδορουμένοις ὑπὸ τῶν μὴ μᾶλλον ἀγαπῶμε
νον, ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις· οὕτω δὲ ἠμέλησας, εἰ μὴ
δὲν ὁμολογούμενον ἔρδοις, ὥστ' ἔφησμεν αὐτὸν τὴν Αἰόλου καὶ
τὴν Ὀρφέως ζηλῶσαι δόξαν· ἀποφαίνεις δὲ αὐτὸν οὐδὲν τῶν
αὐτῶν ἐκείνοις ἐπιτηδεύσαντα· πότερον γὰρ τοῖς περὶ
Αἰόλου λεγομένοις αὐτὸν παραβαλῶμεν, ἀλλ' ἐκείνος μὲν τῶν
ξένων τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας, εἰς τὰς αὐτῶν
πατρίδας ἀπέστελλεν· οὗτος δὲ χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις
πιστεύειν, τοὺς ξένους θύσας κατεσθίειν· ἀλλὰ καὶ τοῖς Ὀρ
φέως ἔργοις ὁμοιώσομεν, ἀλλ' ὅμως ἐξαιδοῦ τοὺς τεθνεώ
τας ἀνιστάς· ὁ δὲ προμοίρας τοὺς ζῶντας ἀπώλλυεν· ὡς
θ' ἡδέως ἂν εἰδείης ὅτι ποτὲ ἐποίησεν, εἰ καταφρονῶν αὐ
τῶν ἐτύγχανεν· ὅσον θαυμάζω τὴν ἀρετὴν τὴν ἐκείνων, ἁπάν
τα φαίνεται τἀναντία διαπραττόμενος· ὁ δὲ πάντων
ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας ἐσπουδάκως,
ἐτόλμησας εἰς τοσοῦτον ἐξηλώσειν, ὧν οὐδὲ οἱ παλαι
οὶ τὸν τρόπον κατὰ τὸν χρόνον γεγονότες ἠξίουν· ἐμὲ δὲ μὴ
δοκῶ τὸ προχειροτάτου ποιεῖν, ἐπιλαμβάνεσθαι τῶν εἰρη-
μένων μηδὲν ἐπιδεικνύς τῶν ἐμαυτοῦ, πειράσομαι σοι διὰ
βραχέων δηλῶσαι τὰ περὶ τὴν αὐτὴν ὑπόθεσιν· καίπερ οὐ
πόρρω δεῖν οὖσαν οὐδὲ σεμνοὺς λόγους ἔχουσαν· ὡς δὲ
καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι περὶ μὲν
οὖν τῆς Βουσίριδος εὐγενείας τίς οὐκ ἂν ῥαδίως
εἰπεῖν· ὃς πατὴρ μὲν ἦν Ποσειδῶνος, μήτηρ δὲ Λιβύης τῆς ἐπάνω
φοῦ τοῦ διός· ἣν φασὶ πρώτην γυναῖκα βασιλεύσασαν, ὁμω
νυμοῦσαν τῇ χώρᾳ καὶ λαχεῖν τυχοῦσαν· οἱοιοῦ δὲ τῶν προγό-
νων, οὐκ ἐπὶ τούτοις μέγα ἐφρόνησεν· ἀλλ' ὁ πόθεν δὲ καὶ τῆς ἀ-
ρετῆς τῆς αὐτοῦ μνημόνευε εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν· τὴν
μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν· ἐλάττω μοῖρας ἢ κατὰ
τὴν αὐτοῦ φύσιν εἶναι· πλείστους δὲ καταστρεψάμενος, καὶ
μεγίστην δύναμιν κτησάμενος ἐν αὐγύπτῳ κατεστήσατο τὴν
βασιλείαν· οὐκ ἐκ τῶν παρόντων μόνον, ἀλλ' ἐξ ἁπάντων, πρό
κριμα τὴν ἐκείνου πολὺ διαφέρειν οἰκήσιν· ἐώρα γὰρ τοὺς μὲν
ἄλλους τόπους οὐκ εὐκαίρους, οὐδὲ εὐαρμόστους πρὸς τὴν τοῦ

...neglexisti dicere consona & consentanea.

Aeolus

Orpheus

πρὸ μοίρ

Genealogi

ἐπιλαμβάνεσθαι τῶν ἐμαυτοῦ

Busiridi pater fuit nepturnus: mater uero libya a qua dicitur nomen antepit.

μητρῴαν ἀρχὴν ὑπεῖδεν

In egypto regnum constituit.

ἐπιλαμβάνεσθαι τῶν ἐμαυτοῦ .i. increpare dicta

ὑπεῖδεν μητρῴαν ἀρχὴν

ἐμαυτοῦ . ἀντὶ τοῦ ἐμαυτοῦ

+ ægyptiorꝫ

Ἰσοχραΐους

σύμπαντος κόσμου φύσιν ἔχοντας. ἀλλὰ τοὺς μὲν ὑπόμβρων καταλυζομένους, τοὺς δὲ ὑπὸ καυμάτων διαφθειρομένους. ταύτην δὲ τὴν χώραν, ἐν καλλίστῳ μὲν τοῦ κόσμου κειμένην, πλάσματα δὲ καὶ παντοδαπὰ τἀγαθὰ φέρειν δυναμένην· ἀθανάτως δὲ τείχεσι τῶν ἡλίων τετειχισμένην. οὐ σὺν μόνῃ φυλακῇ, ἀλλὰ καὶ τροφῇ ἱκανῇ αὐτῇ παρεχεῖν πέφυκεν. ἀμάλωτος μὲν οὖν καὶ δυσμάχητος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσι. πρὸς γὰρ τοῖς εἰρημένοις, καὶ τὴν δύναμιν αὐτῶν πρὸς τὴν τῆς γῆς ἐργασίαν, ἰσόθεον πεποίηκε. τῶν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν, ὧν τοῖς μὲν ἄλλοις ὀλεῖς ταμίας εἶν, ἑκάνων δὲ ἕκαστος, ἀμφοτέρων τούτων αὐτὸς αὐτῶν κύριος καθέστηκεν· ἐν ᾧ τοσαύτην δὲ ὑπερβολὴν εὐδαιμονίας ἤκουσιν, ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει τῆς χώρας, καὶ τῷ πλήθει τῶν πεδίων, ἢ πρὸς οὐδὲν ταῦτα διαθέσει, καὶ τὴν τῶν ἐλλιμένων κομιδήν, διὰ τὴν τοῦ ποταμοῦ δύναμιν ὑπὸ οὐ οἰκοῦσιν· κύκλῳ γὰρ αὐτὴν περιέχων, καὶ πᾶσαν διαῤῥέων, πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων τούτων πεποίηκεν· ἣ ῥᾴστα μὲν οὖν ἐνταῦθεν, ὅθεν περ χρὴ τοὺς εὖ φρονοῦντας ἀμαλὸν πόρρω κάλλιστον καταλαβεῖν· καὶ τὴν τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν εὑρεῖν· μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους, τοὺς μὲν ἐπὶ τὰς ἱερωσύνας καθέστησε, τοὺς δὲ ἐπὶ τὰς τέχνας ἔτρεψε· τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾶν ἠνάγκασεν· ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας, ἐκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν· τούτων δὲ εἶναι φυλακὴν ἀσφαλεστάτην, τὴν τε περὶ τὸν πόλεμον ἐπιμέλειαν, καὶ τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν· ἅπαντας δὲ τοὺς ἀριθμοὺς περιλαβών, ἐξῶν ἀρίστην τὰ κοινὰ διοικήσειν, ἀφ' τοῖς αὐτοῖς, τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν· ὧν δὲ τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας πρὸς οὐδὲν τῶν ἔργων ἀκριβῶς ἔχοντας· τοὺς δὲ ἐπὶ τὰς αὐτῶν πράξεις συμφέρων ἐπιμένοντας, ὡς ὑπερβολὴν ἑκάστου ἀποτελοῦντας· τοιγαροῦν καὶ πρὸς τὰς τέχνας, εὑρήσομεν αὐτοὺς πλείστον διαφέροντας τῶν ἐπὶ τὰς αὐτὰς ἐπιχειρήσαντας, ἢ τοὺς

Ægyptus immortali muro hoc est mire munita.

Ταμίας Ζεύς

ἑκάνων δὲ ἕκαστος

ἐλλιμένων κομιδῆς

διαῤῥέων πᾶσαν

ἱερωσύνας

πλείστον

Omnes numero amplectens. modus loquendi quem & latini mutuati videntur

μεταχειρίζεσθαι.

ἑκάνων δὲ ἕκαστος

ἅμα τόπον ὡς κάλλιστον λαβεῖν

Βουσίρις

ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν· καὶ περὶ τὴν σύνταξιν δὲ ἣν τε βασιλείαν καὶ τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς ἔχοντας, ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοιούτων λέγειν ἐπιχειροῦντας, καὶ μάλιστα εὐδοκιμοῦντας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν· καὶ Λακεδαιμονίοις μέρος τι τῶν ἐκεῖθεν μιμουμένους· ἄριστα διοικεῖν τὴν αὐτῶν πόλιν· καὶ γὰρ τὸ μηδὲν ἐμπόδιον τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν, καὶ τὰ συσσίτια· καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ τὸ μηδενὸς τῶν ἀναγκαίων ἀπορεῖν τοὺς, τῶν κοινῶν προστάγματων ἀμελεῖν· μὴ δὲ ἐπὶ ταῖς ἄλλαις τέχναις διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις προσέχειν τὸν νοῦν· ἐκεῖθεν ἅπαντα ταῦτ' εἰλήφασι· τοσοῦτον δὲ χείρων τούτοις κεχρημένοις ἐπιτηδεύμασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάντες, βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν ἀξιοῦσιν· ἐκεῖνοι δ' οὕτως οἰκοῦσιν, ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμελοῦντας, μήτε τοῖς ἄλλοις τοιοῖσ ἐπιβουλεύοντας· γνοίη δ' ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας· ἃ μὲν γὰρ ἅπαντες μιμησάμεθα τὴν Λακεδαιμονίων ἀρχαίαν καὶ πλουσιοῦν, εὐθὺς ἂν ἀπολοίμεθα· καὶ διὰ τὴν ἐν δίαν τῶν καθ' ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν πρὸς ἡμᾶς αὐτούς· ἃ δὲ τοῖς Αἰγυπτίοις χρῆσθαι νομίμοις βουληθείημεν, καὶ τοῖς μὲν ἐργάζεσθαι, τοῖς δὲ τὰ τούτων σώζειν δόξειεν, ἕκαστοι τὴν αὐτῶν ἔχοντες, εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν· καὶ μὲν δὴ καὶ τῆς περὶ τὴν φρόνησιν ἐπιμελείας, εἰκότως αὐτὸν ἕκαστον αἴτιον εἶναι νομίζομεν· τοῖς γὰρ ἱερεῦσι παρεσκευάσαμεν, εὐπορίαν μὲν ταῖς ἐκ τῶν ἱερῶν πρὸς ὁδοῖς· σωφροσύνην δὲ ταῖς ἀγνείαις ταῖς ὑπὸ τῶν νόμων προσταττομέναις· σχολὴν δὲ ταῖς τῶν κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις· μεθ' ὧν ἐκεῖνοι βιοτεύουσι, τοῖς μὲν σώμασιν ἰατρικὴν εὗρον ἐπικουρίαν οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην, ἀλλὰ τοιούτοις, ἃ τὴν μὲν ἀσφάλειαν ἔχει ὁμοίαν τῇ τροφῇ τῇ καθ' ἡμέραν· τὰς δὲ ὠφελείας τὴν λίκαυτας, ὥστε ἐκείνους ὁμολογουμένως ὑγιεῖς τοὺς καὶ μακροβίωτα-

Lacedæmonios politiæ præstantia ab Ægyptiis transsumpsisse.

Syssitia

Sacerdotibus ægyptiis redditus assignatos, ut immunitatem et ab publicis munerib. vacationem consequebantur.

Nota córa cas mifices medicos

Ισοκράτους

τουσ ειναι. ταισ δε ψυχαισ φιλοσοφιασ ασκησιν καθεδ
ξεν. η και νομοθετησαι, και την φυσιν των οντων δυναται η
τησαι. και τουσ μεν πρεσβυτερουσ επι τα βελτιστα εταξε.
τουσ δε νεωτερουσ αμελησαντασ των ηδονων, εν αστρονο
μια και λογισμοις και γεωμετρια διατριβειν επεισεν. ων τας
δυναμεισ, οι μεν ωσ προσ ετερα χρησιμουσ επαινουσιν.
οι δε ωσ πλειστον προσ αρετην συλλαμβανομενασ απο
φαινειν επιχειρουσι. μαλιστα δε επαινειν και θαυμαζειν την ευ
σεβειαν αυτων αξιουν. και την περι τουσ θεουσ θεραπειαν. οσοι
μεν γαρ σφασ αυτουσ ουτω κατεσχηματισαν, ωστε η κα
τα φιλοσοφιαν η κατ αλλην τινα αρετην υπολαμβανειν αι
μελ ουσιν η κατα την αξιαν, ουτοι βλαπτουσι τουσ εξαπα
τηθεντασ. οσοι δε των θειων πραγματων ουτω προειλη
σαν, ωστε και τασ επιμελειασ και τασ τιμωριασ ειναι δο
κειν ακριβεστερασ των συμβαινοντων, οιδε τοιουτοι πλειστα
τον των ανθρωπων βιον ωφελουσιν. και γαρ την αρχην οι τον
φοβον ημιν εργασαμενοι, αιτιοι τουτων γεγονασι, του μη
παντα παντασι θηριωδωσ διακειθαι προσ αλληλουσ. εκει
νοι τοινυν ουτωσ αγιωσ και σεμνωσ περι ταυτα εχουσιν,
ωστε και τουσ ορκουσ πιστοτερουσ ειναι τουσ εν τοισ εκει
νων ιεροισ, η τουσ παρ αλλοισ καθεστηκοτασ. και των αμαρ
τηματων εκαστον οιεσθαι παραχρημα δοσειν δικην. αλ
λ ου διαλησειν τον παρ ον τα χρονον, ουδε τουσ παι
δασ αναβλητεον ειναι τασ τιμωριασ. και ταυτ εικοτωσ δο
ξαζουσι. πολλασ γαρ αυτοισ και παντοδαπασ ασκησεισ
τησ θειοτητοσ εκεινοσ κατεστησεν. οστισ και των ζωων των
παρημιν καταφρονουμενων, εστιν ασεβειν και τιμαν εκει
νοι νομοθετησεν. ουκ αγνοων την δυναμιν αυτων. αλλ αμα μεν ε
θιζειν οιομενοσ δειν τον οχλον απασιν εμμενειν τοισ υπο των
αρχοντων παραγγελλομενοισ. αμα δε βουλομενοσ πειραν
λαμβανειν εν τοισ φανερωτατοισ, ειτ τινα περι των αφανων διανοι
αν εχωσιν. ενομιζε γαρ τουσ μεν τουτων ολιγωρουντασ, τυ
χον αν και των μειζονων καταφρονησειν. τουσ δε επι παν
των ομοιωσ εμμενοντασ τη ταξει, βεβαιωσεσθαι την αυ
των ευσεβειαν επι δεδιγμενουσ. εχοι δ αν τισ μη ασεν-

Astronomie et geometrie operam dabant egyptii sacerdotes.

Mathematicas disciplinas ad virtutem conferre aegyptii putabant

Cur egyptios animalia colere bubaris dixerit.

Βουσιρις.

δειν ωρμημενοσ, πολλα και μεγαλα περι τησ οσιοτητοσ
αυτων διελθειν. ην ουτε μομοσ ουτε πρωτοσ εγω τυγχα
νω καθεωρακωσ. αλλα πολλοι και των οντων και των προ
γεγενημενων, ων και πυθαγοραν οσ αμιοσ εισ εστιν. οσ α
φικομενοσ εσ αιγυπτον, και μαθητησ εκειθεν γενομενοσ, την
τε αλλην φιλοσοφιαν πρωτοσ εσ τουσ ελληνασ εκομισε.
και τασ περι τασ θυσιασ τε και τασ αγιστειασ τασ εν
τοισ ιεροισ, επιφανεστερον των αλλων εσπουδασεν. ηγουμε
νοσ δ και μη δεν αυτω διατασσειν πλειον γιγνοιτο παρα
των θεων, αλλα παραγε τοισ ανθρωποισ εκ τουτων μαλι
στα ανευδοκιμησειν. οτι ερασθεν και συνεβη. τοσουτον γαρ ευδο
ξια τουσ αλλουσ υπερεβαλεν, ωστε και τουσ νεωτερουσ α
παντασ, επιθυμειν αυτου μαθητασ ειναι. και τουσ πρεσβυ
τερουσ η διον ορων τουσ παιδασ τουσ αυτων εκεινω συνιγ
νομενουσ, η των οικειων επιμελουμενουσ. και τουτοισ ουχ οι
ον τε απιστειν. ετι γαρ και νυν τουσ προσποιουμενουσ εκεινο
υ μαθητασ ειναι, μαλλον σιγωντασ θαυμαζομεν, η τουσ
επι τω λεγειν μεγιστην δοξαν εχοντασ. ισωσ αν ουν τοισ
ειρημενοισ απαντησειεν, οτι την μεν χωραν και τουσ νο
μουσ και την ευσεβειαν, ετι δε και την φιλοσοφιαν επαινω
των αιγυπτιων. ωσ δε τουτων αιτιοσ ην ουν υπεθεμην, ουδε
μιαν εχω λεγειν αποδειξιν. εγω δε ειμι μεν αλλοσ τισ μοι τον
τροπον τουτον επεπλητεν, ηγουμην αν αυτον πεπαιδευ
μενωσ επιτιμαν. σοι δ ουπροσηκειν ταυτην ποιειν την
υπολημψιν. βουληθεισ γαρ βουσιριν ευλογειν, προειλου λεγειν ωσ
τον τεμενοσ περι την χωραν περιερρηξε, και των ξενων τουσ ει
σαφικνουμενουσ κατηθιεν. ωσ δε ταυτ εποιησεν, ουδε
μιαν πιστιν ειρηκασ. καιτοι πωσ ου καταγελαστον εστι, ταυ
τα παρα των αλλων απαιτειν, οισ αυτοσ μη δεκαταμι
κρον κεχρημενοσ τυγχανειν. αλλα τοσουτον πλεον ημων α
πεχειν του πιστα λεγειν, οσον εγω μη ουδενοσ αυτον αιτιω
μαι των αδυνατων. αλλα μομων και πολιτειασ. αιπερ ει
σι πραξεισ των ανδρων των καλων και αγαθων. συ δε τοι
ουτων δημιουργον αποφαινειν, ων ουδ ετερον ουδεισ ιων

Pythagoras ab egyptiis inventorum plura didicit: et illuseq; recognovit.

αιτιωμαι auctore facio

C ii

// ef. ἐπιλαμβανειν. 1. reprehensione

ἀνθρώπων ποιήσαμεν. ἀλλὰ τὸ μὲν τῆς τῶν θηρίων ὠμότητος, τὸ δὲ, τῆς τῶν θεῶν δυνάμεως ἔργον ἐστίν· ἐπειδὴ τοίνυν καὶ τυγχάνομεν ἀμφότερα τὰ ψευδῆ λεγόμενα, ἀλλ' οὖν ἐγώ μὲν τούτοις κέχρημαι τοῖς λόγοις οἷς περ χρῆσθαι τοὺς ἐπαινοῦντας· σὺ δ' οἷς προσήκει τοὺς λοιδορουμένους· ὥστε τοῦ μόνον τῆς ἀληθείας αὐτῶν, ἀλλὰ καὶ τῆς ἰδέας ὅλης δεῖν εὐλογεῖν δεῖ, φαίνῃ δι' ἡμαρτηκώς· χωρὶς δὲ τούτων, εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα τὸν ἐμὸν λόγον ἐξετάζειν, οὐδ' οἷς ἂν αὐτῶν δικαίως ἀπιστήσειεν· εἰ μὲν γὰρ ἄλλος τίς ἦν φανερὸς ὁ ταῦτα πράξας, ἃ ἐγὼ φημι γεγενῆσθαι διὰ κέρδος, ὁμολογῶν λίαν εἶναι τολμηρός· εἰ περὶ ὧν ἅπαντες ἐπίστανται, περὶ τούτων μεταπείθειν ἐπιχειρῶ· νῦν δὲ κοινῶν τῶν πραγμάτων ὄντων, καὶ δοξάσαι δέον περὶ αὐτῶν, τίνα ἂν τις τῶν ἐκ καθεστώτων ἐκ τῶν εἰκότων σκοπούμενος, αὐτίωτερον εἶναι μομίσειεν, ἢ τὸν ἐκ πόσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀποδιὸς ὄντα, μεγίστην δὲ δύναμιν τῶν κατ' αὐτὸν κτησάμενον· καὶ παρὰ τοῖς ἄλλοις ὀνομαστότατον γεγενημένον· οὐ γὰρ δήπου τοὺς ἅπασι τούτοις ἀπολελειμμένους πρὸς ἐκείνου ἄλλον, ἢ ἐκείνον τηλικούτων ἀγαθῶν εὐεργέτην γεγενῆσθαι· καὶ μὲν δὴ καὶ τοῖς χρόνοις ῥαδίως ἂν τοὺς λόγους τοὺς τῶν λοιδορούντων ἐκείνον, ψευδεῖς ὄντας ἐπιδείξειν· οἱ γὰρ αὐτοὶ τῆς Βουσίριδος ξενοκτονίας κατηγοροῦσι· καὶ φασιν αὐτὸν ὑφ' Ἡρακλέους ἀποθανεῖν· ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν, πρεσβυτέρους γενέσθαι τοῦ Διὸς καὶ δαμάσαι, Ἡρακλέα μὲν ἔτη τέτταρσι γενέσθαι μειότερον· Βουσίριν δὲ πλείω ἢ διακόσιοις ἔτεσι πρεσβύτερον· καίτοι τὸν βουλόμενον διαλύσασθαι τὰς ὑπὲρ ἐκείνου διαβολὰς, πῶς οὐκ ἀποπορήσειεν ταύτην τὴν πίστιν παραλιπεῖν· τὴν οὕτως ἐμφανῆ καὶ τηλικαύτην δύναμιν ἔχουσαν· ἀλλὰ γὰρ οὐδὲν σοι τῆς ἀληθείας ἐμέλησεν· ἀλλὰ ταῖς τῶν, ποιητῶν βλασφημίαις ἐπηκολούθησας· οἱ δεινότατα μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς ἐκ τῶν ἀθανάτων γεγονότας, ἢ τοὺς ἐκ τῶν ἀνθρώπων τῶν ἀμείνω τάτων· τοιούτους δὲ λόγους περὶ αὐτῶν τῶν θεῶν εἰρήκασιν· οὓς οὐ

λογοποιῶν

Sed n. nulla ibi fuit vetustatis cura, quin potius poetae blasphemias sequutus es, qui peiora quibus fraudes patiantur fuisse demonstrant eos qui ab immortalibus geniti sunt: quam eos qui ab hominibus selectissimis. Talia. Ad verba de ipsis dijs dicenda: qualia nullus unquam de inimicis audeat dicere. Non solum furta et adulteria et apud deos servitutem ipsis exprobrantur. Sed et filios cibos: et patrum castrationes et vinculum coitus. et multa alia scelera fecisse contra illos. Et quibus instituendis pudor non defuerunt. non tamen impunitis evasserunt. Sed alij ab eis vagi et quasi dianoia indigentes constituti sunt. alij ad extremitatem. alij ad fugientes parietum et rum domestica pleniores et tempore pleuratim. orpheus ad qui maxime talia scripsit verba: dilaniatus vitam finivit.

hesiodú pstringit

δεῖσ' ἂν περὶ τῶν ἐχθρῶν τολμήσειεν ἐπεῖν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρὰ ἀνθρώποις θήτειας αὐτοῖς ὠνείδισαν, ἀλλὰ καὶ παίδων βρώσεις, καὶ πατέρων ἐκτομὰς, καὶ μητέρων συνουσίας, καὶ πολλὰς ἄλλας ἀνομίας ἐλογοποίησαν κατὰ τούτων· ὑπὲρ ὧν, τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν· οὐ μὴν ἀτιμωρητοί γε διέφυγον· ἀλλ' οἱ μὲν αὐτῶν πλανῆται καὶ τῶν καθ' ἡμέραν ἐν δεῖσι κατέστησαν· οἱ δὲ τυφλώθησαν· ἄλλοι δὲ φεύγοντες τὴν πατρίδα καὶ τοῖς οἰκείοις πολεμοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν· ὀρφεὺς δὲ ὁμαλίστα τῶν τοιούτων λόγων ἁψάμενος, δι' ἃ σωφρονῶν τὸν βίον ἐτελεύτησεν· ὥστ' ἂν σωφρονῶμεν, οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων· οὐδὲ περὶ μὲν τῆς ἀλλήλων κατηγορίας μνημονεύσομεν· τῆς δὲ εἰς τοὺς θεοὺς παρρησίας ὀλιγωρήσομεν· ἀλλὰ φυλαξόμεθα καὶ μιμούμεν ὁμοίως τοὺς τελεγόντας τὰ τοιαῦτα πλημμελῶν· καὶ τοὺς πιστεύοντας αὐτοῖς· ἐγὼ μὲν οὖν οὐχ ὅπως τοὺς θεοὺς, ἀλλ' οὐδὲ τοὺς ἐξ ἐκείνων γεγονότας, οὐδὲ μιᾶς ἡγοῦμαι κακίας μετεσχεῖν· ἀλλ' αὐτοὺς τὰς πάσας ἐχόντας ἀρετὰς φύναι· καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνας καὶ διδασκάλους γενέσθαι· καὶ γὰρ ἄλογον εἶναι τῆς μὲν ἡμετέρας εὐπαιδίας εἶναι τοὺς θεοὺς τὴν αἰτίαν ἀναφέρομεν, τῆς δὲ ἐσφετέρας αὐτῶν, μηδὲν αὐτοὺς φροντίζειν ὁμολογοῦμεν· ἀλλ' εἰ μὲν ἠμῶν τῆς τῶν ἀνθρώπων φύσεως καταστῆ κύριος, οὐδ' ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι πονηροὺς· ἐκείνων δὲ οὐ καταγιγνώσκοιμι· εἰ τοὺς ἐξ αὐτῶν γεγονότας περιίδοιεν, οὕτω ἀσεβεῖς καὶ παρανόμους ὄντας· καὶ σὺ μὲν οἶδ' καὶ τοὺς μηδὲν προσήκοντας, ἀνοσιοπληθιάσωσι, βελτίστους ποιήσειν· τοὺς δὲ θεοὺς οὐδὲ μίαν ἡγῆ τῆς τῶν παίδων ἀρετῆς ἐχεῖν ἐπιμέλειαν· καίτοι καὶ τὰ τῶν σῶν λόγων, δυοῖν τοῖν αἰσχίστοιν οὐδὲ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μὴ δεῖ βούλονται χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν· εἰ δὲ βούλονται μὲν, ἀπορεῖν δὲ ὅπως ποιήσωσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσιν· πολλῶν δὲ ἐν ὄντων εἰπεῖν, ἐξ ὧν

Contra Poetas

ἐλογοποίησαν

orpheus

Contra poetas

ἄρτιον καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειν, οὐχ ἡγοῦμαι δεῖν μακρολογεῖν· οὐ γὰρ ἐπιδείξεις τοῖς ἄλλοις ποιούμενοι, ἀλλ' ὑποδείξαι βουλόμενοι, ὡς χρὴ τούτων ἑκάτερον ποιεῖν, διείλεγμαι περὶ αὐτῶν· ἐπεὶ τόν τε λόγον ὃν συνέγραψας, οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος, ἀλλ' ὁμολογίαν τῶν ἐγκαλουμένων δικαίως ἄρτιον εἶναι νομίσειεν· οὐ γὰρ ἀπολύσων αὐτὸν τῶν ἁμαρτιῶν, ἀλλὰ ἀποφανῶν, ὡς καὶ τῶν ἄλλων τιμᾶν ἄξιος ἐστὶν ἃ πεποίηκασι, ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγήν. ἃ γὰρ τῶν μὲν ἀδικημάτων οὐράδιον εὑρεῖν, ὃ μήπω τυγχάνει γεγενημένον, τοὺς δὲ ἑκάστοις αὐτῶν ἁλισκομένους, μηδὲν ἡγοίμεθα δεινὸν ποιεῖν, ὅταν ἕτεροι ταὐτὰ φανῶσι διαπεπραγμένοι, πῶς οὐκ ἂν καὶ τὰς ἀπολογίας ἁπάσας ῥᾴδιον ποιήσαιμεν; καὶ τοῖς βουλομένοις εἶναι προμηθεῖς, πολλὴν ἐξουσίαν κατασκευάσαιμεν, μάλιστα μὲν ἂν καὶ ἰδίοις, τὴν εὐήθειαν τῶν εἰρημένων, ἐπὶ σαυτοῦ θεωρήσας· ἐν θυμήθητι γὰρ εἴ μεγάλων καὶ δεινῶν αἰτιῶν περὶ σὲ γεγονυιῶν, τοῦτον τίσι τὸν τρόπον συνέβη, πῶς ἂν διατεθείης· ἐγὼ μὲν οἶδ' ὅτι πολὺ μᾶλλον αὐτὸν μισήσειας, ἢ τοὺς καταγορεύοντας· καίτοι πῶς οὐκ αἰσχρόν, τοιαῦτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας, ἃς φαῖσιν ὑπὲρ σαυτοῦ λεγομένας, μάλιστ' ἂν ὀργισθείης σκεψαμένος ἐκ κεφαλαίου καὶ διέλθε πρὸς αὐτόν· εἴ τις τῶν σοὶ συνόντων ἐπαρθεὶς ποιεῖν, ἃ σὺ τυγχάνεις εὐλογῶν, πῶς οὐκ ἂν ἀθλιώτατος εἴη, καὶ τῶν ὄντων καὶ τῶν πώποτε γεγενημένων. ἀρ' οὖν χρὴ τοιούτους λόγους συγγράφειν, οἵους τοῦτο πρόσεστι μέγιστον ἀγαθόν, μὴ μηδένα πεῖσαι τῶν ἀκουσάντων δυνηθῶσιν, ἀλλὰ γὰρ ἴσως ἂν εἴποις, ὡς οὐδὲ σὲ τοῦτο παρέλαθεν· ἀλλ' ἐβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν, ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν πραγμάτων ποιεῖσθαι τὰς ἀπολογίας· ἀλλ' εἰ καὶ πρότερον ἡγοῦμαί σοι νῦν γεγενῆσθαι φανερόν, ὅτι πολὺ θᾶττον ἄρτιον ὤου εἶναι μηδὲν φθεγξάμενος, ἢ τοῦτον τὸν τρόπον ἀπολογησάμενος καὶ μὴν καὶ τοῦτο δῆλον, ὅτι τῆς φιλοσοφίας ἐπικήρως διακείμενος, καὶ φθονούμενος διὰ τοὺς

διέλθε πρὸς αὐτόν

ff. ποιεῖν

w. 1. componere tales orationes in quibus omnia insint mala solum autem sit illud bonum ut nemini persuadere possint quae dicunt mala

L. 1. si alicuis uellet se defendere ab alicuius accusatione magis se natet nihil dicens quam sit se defendens.

τοιούτους τῶν λόγων, ἔτι μᾶλλον αὐτὴν μισήσουσιν· ἢν δὲ μοι πείθῃ, μάλιστα μὲν οὐ ποιήσεις τοῦ λοιποῦ πρόφασιν ὑποθέσεις· ἂν δὲ μή, τοιαῦτα ζητήσεις λέγειν, ἐξ ὧν μὴ ταὐτὸν χείρων εἶναι δόξεις, μήτε τοὺς μιμουμένους λυμαίνῃ· μήτε τὴν περὶ τοὺς λόγους παίδευσιν διαβάλλῃς· καὶ μὴ θαυμάζε εἰ μεῖζον ὧν καὶ μηδέν σοι προσήκων, οὕτω προχείρως ἐπιχειρῶσι μουθετεῖν· ἡγοῦμαι γάρ, οὐ τῶν πρεσβυτάτων οὐδὲ τῶν οἰκειοτάτων, ἀλλὰ τῶν πλείστα εἰδότων καὶ βουλομένων ὠφελεῖν, ἔργον εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν.

κατὰ τῶν σοφιστῶν 7

ἅπαντες ἠθελον οἱ παιδευταὶ ἐπιχειροῦντες ἀληθῆ λέγειν, καὶ μὴ μέλλουσι ποιεῖσθαι τὰς ὑποσχέσεις ὧν ἔμελλον ἐπιτελεῖν, οὐκ ἂν κακῶς ἤκουον ὑπὸ τῶν ἰδιωτῶν· νῦν δ' οἱ τολμῶντες λίαν περισκέπτως ἀναλαμβάνειν, ποιήσασιν, ὥστε δοκεῖν ἀμφιβουλεύεσθαι τοὺς ῥᾳθυμεῖν αἱρουμένους τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων· τίς γὰρ οὐκ ἂν μισήσειεν ἅμα καὶ καταφρονήσειε, πρῶτον μὲν τῶν περὶ τὰς ἔριδας διατριβόντων, οἱ προσποιοῦνται μὲν τὴν ἀλήθειαν ζητεῖν, εὐθὺς δ' ἐν ἀρχῇ τῶν ἐπαγγελμάτων, ψευδῆ λέγειν ἐπιχειροῦσιν· οἶμαι γὰρ ἅπασιν εἶναι φανερόν, ὅτι τὰ μέλλοντα προγιγνώσκειν, οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν, ἀλλὰ τοσοῦτον ἀπέχομεν ταύτης τῆς φρονήσεως, ὥστε θεὸν μόνον μεγίστην δόξαν ἐπὶ σοφίᾳ σχόντα, καὶ τοὺς θεοὺς πεποίηκεν ἐστιν ὅτε βουλευομένους περὶ αὐτῶν· οὐ τὴν ἐκείνων γνώμην εἰδόσι, ἀλλ' ἡμῖν ἐνδείξασθαι βουλόμενος, ὅτι τοῖς ἀνθρώποις ἔστι τοῦτο τῶν ἀδυνάτων ἐστίν· οὗτοι τοίνυν εἰσὶ τοῦτο τολμῆσαι ἐλπίζουσιν, ὥστε πείθειν τοὺς μεωτέρους, ὡς ἐν αὐτοῖς πλησιάσωσιν, ἅ τε πρακτέον ἐστὶν εἰσόμεθα· καὶ διὰ ταύτης τῆς ἐπιστήμης εὐδαίμονες γενήσομεθα· καὶ τηλικούτων ἀγαθῶν διδασκά

τοῦ λοιποῦ. 1. de reliquo

Homerus.

ἀπρακτέον ἐστὶ quae agendum ÷

+ .1. forma diminutiua p contemptum.

λουσ· καὶ κυρίους σφᾶς αὐτοὺς καταστήσαντες, οὐκ ἀσχύ
μοντα τὰ τέταρα ἢ πέντε μόνον ὑπὲρ τούτων αὐτοῦντες·
ἀλλ' εἰ μέν τι τῶν ἄλλων κτημάτων πολλοστοῦ μέρους τῆσ
ἀξίας ἐπώλουν, οὐκ ἂν ἠμφισβήτησαν, ὡς οὐκ ἀφροῦν
τες τυγχάνουσι, σύμπασαν δὲ τὴν ἀρετὴν καὶ τὴν εὐ
δαιμονίαν, οὕτως ὀλίγου πωλοῦντες ὡς μοῦν ἔχοντες δι
δάσκαλοι τῶν ἄλλων ἀξιοῦσι γενέσθαι· καὶ λέγουσι μὲν ὡς
οὐδὲν δέονται χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν
πλοῦτον ἀποκαλοῦντες· μικροῦ δὲ κέρδους ὀρεγόμενοι,
μόνον οὐκ ἀθανάτους ὑπισχνοῦνται ποιήσειν τοὺς αὐτοῖς
συνόντας· ὁ δὲ πάντων καταγελαστότατον, ὅτι πα
ρὼν δεξάμενοι αὐτοὺς, τούτοις μὲν ἀπιστοῦσιν, οἷσ
περ μέλλουσι τὴν δικαιοσύνην παραδώσειν· ὧν δ' οὐδέ πώ
ποτε διδάσκαλοι γεγόνασι, παρὰ τούτοις τὰ παρὰ τῶν
μαθητῶν μεσεγγυῶνται· πρὸς μὲν τὴν ἀσφάλειαν βου
λευόμενοι· τῷ δ' ἐπαγγέλματι τἀναντία πράττοντες·
τοὺς μὲν γὰρ ἄλλοτι παιδεύοντας, προσήκει διακριβοῦ
σθαι περὶ τῶν διαφερόντων (οὐδὲν γὰρ κωλύει τοὺς περὶ
ἕτερα δεινοὺς γενομένους, μὴ χρήσιμοι εἶναι περὶ τὰ συμ
βόλαια) τοὺς δὲ τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην ἐργαζο
μένους, πῶς οὐκ ἄλογον εἰ μὴ οὗτοι σοφοὶ μαθηταῖς μᾶλ
λον πιστεύειν· οὐ γὰρ δήπου περὶ τοὺς ἄλλους ὄντες κα
λοὶ κἀγαθοὶ καὶ δίκαιοι, περὶ τούτους ἐξαμαρτήσονται.
διόπερ τοιοῦτοι γεγόνασιν (ἐπειδὰν οὖν τῶν ἰδιωτῶν τι
νὲς, ἅπαντα ταῦτα συλλογισάμενοι, κατιδοῦσι τοὺς
τὴν σοφίαν διδάσκοντας, καὶ τὴν εὐδαιμονίαν παραδι
δόντας, αὐτούς τε πολλῶν δεομένους· καὶ τοὺς μαθητὰς
μικρὸν πρατταμένους· καὶ τὰς ἐναντιώσεις ἐπὶ μὲν τῶν
λογιδίων τηροῦντας, ἐπὶ δὲ τῶν ἔργων μὴ καθορῶντας,
ἔτι δὲ περὶ τῶν μελλόντων μὲν εἰδέναι προσποιουμένους,
περὶ δὲ τῶν παρόντων, μηδὲν τῶν δεόντων μήτε φρονοῦ
μήτε συμβουλεῦσαι δυναμένους, ἀλλὰ μᾶλλον ὁμολο
γοῦντας καὶ πλείω κατορθοῦντας· τοὺς ταῖς δόξαις χρω
μένους, ἢ τοὺς τὴν ἐπιστήμην ἐλεγχομένους, εἰκό-

μόνον ὑπ. .1. tantum non. Quintilianus in declamationib'). Seneca Plin')

∴ ſ. magiſtros

ιζ. ὁμονοοῦντας

τως οἴμαι καταφρονοῦσι· καὶ μομίζουσιν ἀδολεσχίαν καὶ μι
κρολογίαν, ἀλλ' οὐ τῆσ ψυχῆσ ἐπιμέλειαν ἔναι τὰσ δια
τριβὰσ τὰσ τοιαύτασ· οὐ μόνον δὲ τούτοισ, ἀλλὰ καὶ
τοῖσ τοὺσ πολιτικοὺσ λόγουσ ὑπισχνουμένοισ, ἀξιοῦ ἐπι
τιμᾶσαι· καὶ γὰρ ἐκεῖνοι τῆσ μὲν ἀληθείασ οὐδὲν φροντίζου
σιν· ἡγοῦνται δὲ τοῦτ' εἶναι τὴν τέχνην, ἣν ὡς πλείστους τῆσ μικρό
τητι τοῦ μιαθοῦ, καὶ τῶν μεγέθει τῶν ἐπαγγελμάτων προσα
γάγωνται· καὶ λαβεῖν τι παρ' αὐτῶν δυνηθῶσιν· οὕτω δὲ ἀναι
σθήτωσ αὐτοί τε διακεῖνται· καὶ τοὺσ ἄλλουσ ἐχεῖν ὑπειληφα
σιν, ὥστε χρῆν γράφοντεσ τοὺσ λόγουσ, ἢ τῶν ἰδιωτῶν τι
νὲσ αὐτοσχεδιάζουσιν, ὅμωσ ὑπισχνοῦνται τοιούτους ῥή
τορασ τοὺσ συνόντασ ποιήσειν, ὥστε μηδὲν τῶν ἐν ὄντων ἐν
τοῖσ πράγμασι παραλιπεῖν· καὶ ταύτησ τῆσ δυνάμεωσ
οὐδὲν, οὔτε ταῖσ ἐμπειρίαισ οὔτε τῇ φύσει τοῦ μαθητοῦ μετα
διδόασιν· ἀλλὰ φασὶν ὁμοίωσ τὴν τῶν λόγων ἐπιστήμην,
ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν· ὡς μὲν ἔχει τού
των ἑκάτερον, οὐκ ἐξετάσαντες, οἱ ὁμοίωσ δὲ διὰ τὰς ὑπερβολὰς
τῶν ἐπαγγελμάτων, αὐτοί τε θαυμαστοῦσθαι· καὶ τὴν παι
δευσιν τὴν τῶν λόγων πλείονοσ ἀξίαν δοξεῖν εἶναι· κακῶσ δι
δόντεσ ὅτι μεγάλασ ποιοῦσι τὰσ τέχνασ, οὐχὶ τολμῶν
τεσ ἀλαζονεύεσθαι περὶ αὐτῶν, ἀλλ' οἰόμενοι ἂν ὀσουνεῦν
ἐν ἑκάστῃ τοῦτο εὑρεῖν δυνηθῶσιν· ἐγὼ δὲ πρὸ πολλῶν ἂν χρη
μάτων ἐτιμησάμην τὴν λικοῦτον δύνασθαι τὴν φιλοσο
φίαν ὅσον οὗτοι λέγουσιν· ἴσωσ γὰρ οὐ τὰν ἡμεῖν πλεῖστον
ἀπελείφθημεν, οὐδ' ἂν ἐλάχιστον μέροσ ἀπελαύσαμεν αὐ
τῆσ· ἐπειδὴ δ' οὐχ οὕτωσ ἔχει, βουλοίμην ἂν παύσασθαι
τοὺσ φλυαροῦντασ· ὁρῶ γὰρ οὐ μόνον περὶ τοὺσ ἐξαμαρτά
νοντασ τὰσ βλασφημίασ γιγνομένασ, ἀλλὰ καὶ τοὺσ ἄλλουσ
ἅπαντασ συνδιαβαλλομένουσ, τοὺσ περὶ ταύτην τὴν
διατριβὴν ὄντασ· θαυμάζω δ' ὅταν ἴδω τούτους τῶν καθηγη
τῶν ἀξιουμένους, οἱ ποιητικοῦ πράγματοσ τεταγμένην τέχνην
παράδειγμα φέροντες λελήθασι σφᾶς αὐτούσ· τίσ γὰρ οὐκ οἶδε
πλὴν τούτων, ὅτι τὸ μὲν τῶν γραμμάτων ἀκριβῆ τῶν ἐχεῖν·
καὶ μὲν κατὰ ταὐτόν· ὥστε τοῖσ αὐτοῖσ ἀεὶ περὶ τῶν αὐτῶν

χρώμενοι. διατελοῦμεν. τὸ δὲ τῶν λόγων πᾶν τοὐναντίον
πέπονθε. τὸ γὰρ ὑφ᾽ ἑτέρου ῥηθὲν, τῶν λεγόντι μετεκδόντων οὐχ
ὁμοίως χρήσιμον ἐστιν. ἀλλ᾽ οὗτος ἆρα δοκεῖ τεχνικώτατος,
ὅστις ἂν ἀξιῶσι μὲν λέγειν τῶν πραγμάτων. μηδὲν δὲ τῶν
αὐτῶν τοῖς ἄλλοις ἀρίσκεσθαι μεγίστου δὲ σημεῖον
τῆς ἀμουσίας τοῦ αὐτῶν. τοὺς μὲν γὰρ λόγους οὐχ οἷόν τε
καλῶς ἔχειν, ἢν μὴ τῶν καιρῶν καὶ τοῦ πρέποντος ἱκανῶς
μετάσχωσι. τοῖς δὲ γράμμασιν οὐδὲν ὅσον τούτων προ-
σεδέησεν. ὥστε οἱ χρώμενοι τοῖς τοιούτοις παραδείγμα-
σι, πολὺ ἂν δικαιότερον ἀποτίμοιεν, ἢ λαμβάνοιεν ἀργύ-
ριον. ὅτι πολλῆς ἐπιμελείας οὗτοι δεόμενοι, τοὺς ἄλλους
παιδεύειν ἐπιχειροῦσιν. ἐν δὲ δὴ μὴ μόνον καταῤῥήσαι τῶν
ἄλλων, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν, ἢ γοῦν
μαι πάντας ἄμοιρον τοὺς ἐν φρονοῦντας συμφέρειν. ὅτι πολ
λοὶ μὲν τῶν φιλοσοφησάντων, ἰδιῶται διετέλεσαν ὄντες.
ἄλλοι δὲ τιμεῖν οὐδενὶ πώποτε συνεόμενοι τῶν σοφιστῶν,
καὶ λέγειν καὶ πολιτεύεσθαι δυνατοὶ γεγόνασιν. αἱ μὲν γὰρ δυ
νάμεις καὶ τῶν λόγων καὶ τῶν ἄλλων ἔργων ἅπαντων, ἐν
τοῖς εὐφυέσιν ἐγγίγνονται. καὶ τοῖς περὶ τὰς ἐμπειρίας
γεγυμνασμένοις. ἡ δὲ παίδευσις τοὺς τοιούτους τεχνι
κωτέρους, καὶ πρὸς τὸ ζῆν εὐπορωτέρους ἐποίησεν. οἷς
γὰρ καὶ νῦν ἐν τυγχάνουσι πλανώμενοι, ταῦτα ἐξ ἑτοίμου τε
ρου λαμβάνειν ἐδίδαξε. τοὺς δὲ καταδεεστέραν τὴν φύ-
σιν ἔχοντας, ἀγωνιστὰς μὲν ἀγαθοὺς ἢ λόγων ποιητὰς,
οὐκ ἂν ἀποτελεσθεῖν. αὐτοὺς δὲ ἐὰν αὐτῶν προάγοι. πρὸς
καὶ πρὸς πολλὰ φρονιμώτερον διακεῖσθαι ποιήσειν βού
λομαι. ἐπειδὴ περ ἐν ταύτῃ προῆλθον. ἔτι σαφέστερον εἰ
πεῖν περὶ αὐτῶν. φημὶ γὰρ ἐγὼ τῶν μὲν ἰδεῶν ἐξ ὧν
τοὺς λόγους ἅπαντας καὶ λέγομεν καὶ συνιτίθεμεν λαβεῖν
ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν, κἂν τις αὐτὸν παραδεί
δῶ. μὴ τοῖς ῥαδίως ὑπισχνουμένοις. ἀλλὰ τοῖς εἰδόσι περὶ αὐ
τῶν. τὸ δὲ τούτων ἐφεκάστων πράγματα δὲ εἰ προδιελέ
σθαι, καὶ μίξασθαι πρὸς ἀλλήλας καὶ τάξαι κατὰ τρόπον, ἔτι δὲ
καὶ τῶν καιρῶν μὴ διαμαρτεῖν, ἀλλὰ καὶ τοῖς ἐμθυμήμασι πρε

De ideis. i. formis seu figuris dicendi adeudus Hermogenes q lo go tractatu de his disserit

ꝝ i. promouebit ipsos a se ipsis.
.i. peritiores ipsos faciet q̃m ante erant

L. i. harú ideaꝝ

πούτωσ ὅλον τὸν λόγον καταποικίλαι, καὶ τοῖς ὀνόμασιν
εὐρύθμως καὶ μουσικῶς εἰπεῖν, ταῦτα δὲ πολλῆς ἐπιμε-
λείας δεῖται. καὶ ψυχῆς ἀνδρικῆς καὶ δοξαστικῆς ἔργον ε
στί. καὶ δεῖ τὸν μὲν μαθητὴν πρὸς τὴν φύσιν ἔχειν οἵαν
χρή, τὰ μὲν δὴ τῶν λόγων μαθεῖν. περὶ δὲ τὰς χρήσεις
αὐτῶν γυμνασθῆναι. τὸν δὲ διδάσκαλον, τὰ μὲν, οὕτως
ἀκριβῶς ὡς οἷόν τε εἶναι διελθεῖν, ὥστε μηδὲν τῶν διδακτῶν
παραλιπεῖν. περὶ δὲ τῶν λοιπῶν τοιοῦτον αὐτὸν παρά-
δειγμα παρασχεῖν, ὥστε τοὺς ἐκτυπωθέντας καὶ μιμεῖ
σθαι δυνηθέντας, εὐθὺς ἀμθηρότερον καὶ χαριεστέρων τῶν ἄλ-
λων φαίνεσθαι λέγοντας. καὶ τούτων μὲν πάντων συμπε
σόντων, τὸ τέλεον ἔξουσιν οἱ φιλοσοφοῦντες. καθ᾽ ὃ δ᾽ ἂν ἐλ
λείπωσι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χείρους εἶναι τοὺς
πλησιάζοντας. οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμε-
νοι, καὶ μεστοὶ πρὸς πεπλωκότες ταῖς ἀλαζονείαις, εἰ καὶ μὴν
πλεονάζουσιν, οἱ δ᾽ ὅτι πάντες ἐπὶ ταύτην κατεμεχθή-
σονται τὴν ὑπόθεσιν. λοιποὶ δὲ εἰσὶν ἡμῖν οἱ πρὸ ἡμῶν γε-
νόμενοι. καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντ-
τες. οὐδὲν οὐκ ἀφετέον ἀνεπιτιμήτους. οἵτινες ὑπέσχον-
το δικαίζεσθαι διδάξειν. ἐκλεξάμενοι τὸ δυσχερέστατον
τῶν ὀνομάτων ὀτῶν φθόνον οὐν τῶν ἔργον ἢν λέγειν. ἀλλ᾽ οὐ τῶν
προεστώτων τῆς τοιαύτης παιδεύσεως. καὶ ταῦτα τοῦ
πράγματος (καθ᾽ ὅσον ἐστὶ διδακτὸν) οὐδὲν μᾶλλον πρὸς
τοὺς δικανικοὺς λόγους, ἢ πρὸς τοὺς ἄλλους ἅπαντας
ὠφελεῖν δυναμένου. τοσούτῳ δὲ χείρους ἐγένοντο τῶν πε
ρὶ τὰς ἔριδας καλινδουμένων, ὅσον οὗτοι μὲν τοιαῦτα λο
γίδια διεξιόντες (οἷς εἴτις ἐπὶ τῶν πράξεων ἐμμένειν, εὐθὺς
ἂν ἐν πᾶσιν εἴη κακός) ὅμως ἀρετὴν ἐπηγγέλλοντο, καὶ σω
φρονεῖν ὑπὲρ αὐτῶν. ἐκεῖνοι δὲ ἐπὶ τοὺς πολιτικοὺς λό-
γους παρακαλοῦντες, ἀμελήσαντες τῶν ἄλλων τῶν
προσόντων αὐτοῖς ἀγαθῶν, πολυπραγμονεῖν καὶ πλε
ονεξίας ὑπεσχήσαν εἶναι διδάσκαλοι. καίτοι τοὺς βου-
λομένους πεφαρμάκευν τοῖς ὑπὸ τῆς φιλοσοφίας ταύτης προ-
σαπτομένοις, πολὺ ἂν θᾶττον πρὸς ἐπιδεξιότητα, ἢ πρὸς ῥητορείαν

Ergo appellabant se dinaynous
.i. iudiciarios. a difficillima pte rhetorice

ὠφελήσαμεν. καὶ μηδ' ὅσοι ἐαθῶμεν λέγειν, ὡς ἔστι δικαιοσύνη δι' ἀκίνδυνον. ὅλως μὲν γὰρ οὐδὲ μίαν ἡγοῦμαι τέχνην τοιαύτην εἶναι, ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν, σωφροσύνην ἢ δικαιοσύνην ἀνεμποιήσειεν. οὐ μὴν ἀλλὰ καὶ συμπαρασκευάσαι γε καὶ συναυξῆσαι, μᾶλλον ἂν οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν. ἣν δὲ μὴ δοκῶ τὰς μὲν τῶν ἄλλων ὑποσχέσεις διαβάλλειν, αὐτὸς δὲ μέλλω λέγειν τῶν ἐμόντων, ἐξὸν περ αὐτὸς ἐπιδεῖξαι οὕτω τοῦτο τέχνη. ῥᾴδιον οἶμαι καὶ τοῖς ἄλλοις φανερὸν καταστήσειν.

λόγος παρηγυρικός

Πολλάκις ἐθαύμασα τῶν τὰς παρηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων. ὅτι τὰς μὲν τῶν σωμάτων εὐεξίας οὕτω μεγάλων δωρεῶν ἠξίωσαν. τοῖς δὲ ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι, καὶ τὰς ἑαυτῶν ψυχὰς οὕτω παρασκευάσασιν, ὡς τε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, τούτοις οὐδὲ μίαν τιμὴν ἀπεμείμαν. ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιήσασθαι προνοίαν. τῶν μὲν γὰρ ἀθλητῶν, διὰ τοσαύτην ῥώμην λαβόντων, οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις. ἐμοὶ δὲ λυδρὸς εὐφρόνησαν τος, ἅπαντες ἂν ἀπολαύσειαν οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας. οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας, εἰλόμην ῥαθυμεῖν. ἀλλὰ καὶ νομίσας ἄθλον εἶναι αἱρετὴν τὴν δόξαν τὴν ἀπ' αὐτοῦ τοῦ λόγου γενησομένην, ἥκω συμβουλεύσων περὶ τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους, καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτούς. οὐκ ἀγνοῶν ὅτι πολλοὶ τῶν προσποιησαμένων εἶναι σοφιστῶν, ἐπὶ τοῦτον τὸν λόγον ὥρμησαν, ἀλλὰ καὶ μὲν ἐλπίζων τοσοῦτον αὐτῶν διοίσειν, ὥστε τοῖς ἄλλοις μηδὲν πώποτε δόξειν ἐρῆσθαι περὶ αὐτῶν. ἅμα δὲ προκρίνας τούτους καλλίους εἶναι τῶν λόγων, οἵτινες περὶ μεγίστων τυγχάνουσιν ὄντες, καὶ τοὺς τὰ λεγόμενα μάλιστα ἐπιδεικνύουσι.

ὅλον ἂν πλέον γένοιτο τοῖς ἄλλοις

ὅλον ἂν πλέον γένοιτο τοῖς ἄλλοις

προσποιησαμένων

ἐπιδεικνύουσι

III. 7. Peristimo constat 4 mihi ab aliis dictum esse

καὶ τοὺς ἀκούσαντας πλεῖστα ὠφελοῦσιν. ὧν εἷς οὗτός ἐστιν. ἐπεὶ τὰ οὐδ' οἱ καιροὶ πω παρεληλύθασιν. ὥστε τὴν δὴ μάτην εἶναι τὸ μεμνῆσθαι περὶ αὐτῶν. τότε γὰρ χρὴ πάντα λέγοντα, ὅταν ἡ τὰ πράγματα λάβῃ τέλος, καὶ μηκέτι δεῖ βουλεύεσθαι περὶ αὐτῶν. ἢ τὸν λόγον ἤδη τὶς ἔχοντα περᾶν. ὥστε μηδεμίαν λελεῖφθαι τοῖς ἄλλοις ὑπερβολήν. ἕως δ' ἀν τὰ μὲν ὁμοίως ὥσπερ πρότερον φέρηται, τὰ δ' εἰρημένα φαύλως ἔχοντα τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φιλοσοφεῖν τοῦτον τὸν λόγον. ὃν ἢν κατορθωθῇ, καὶ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους, καὶ τῆς ταραχῆς τῆς παρούσης, καὶ τῶν μεγίστων κακῶν ἡμᾶς ἀπαλλάξει. πρὸς δὲ τούτοις, εἰ μὴ μηδαμῶς ἄλλως οἷόν τ' ἦν δηλοῦν τὰς αὐτὰς πράξεις, ἀλλ' ἢ διὰ μιᾶς ἰδέας, εἴχεν ἄν τις ὑπολαβεῖν, ὡς περιεργόν ἐστι τὸν αὐτὸν τρόπον ἐκείνοις λέγοντα, πάλιν ἐμοχλεῖν τοῖς ἀκούουσιν. ἐπεὶ δὴ οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν, ὥστ' οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν πολλαχῶς ἐξηγήσασθαι, καὶ τὰ τε μεγάλα τὰ πρὶν ἃ ποιῆσαι, καὶ τοῖς μικροῖς μέγεθος προσθεῖναι, καὶ τὰ παλαιὰ καινῶς διεξελθεῖν, καὶ περὶ τῶν μεῶν τι γεγενημένων ἀρχαίως εἰπεῖν, οὐκέτι φευκτέον ταῦτ' ἔστι, περὶ ὧν ἕτεροι πρότερον εἰρήκασιν. ἀλλ' ἀμφοῖν ἐκείνων εἰπεῖν πειρατέον. αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι, κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν. τὸ δ' εὖ καιρῷ ταύταις καταχρήσασθαι, καὶ τὰ προσήκοντα περὶ ἑκάστου εὐθυμηθῆναι, καὶ τοῖς ὀνόμασιν ἁρμοσθῆναι, τῶν εὐφρονούντων ἴδιον ἔστιν. ἡγοῦμαι δ' οὕτως ἀφ' μεγίστην ἐπίδοσιν λαμβάνειν, καὶ τὰς ἄλλας τέχνας, καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν, εἴ τις τιμῴη καὶ θαυμάζοι, μὴ τοὺς πρώτους τῶν λόγων ἀρχομένους, ἀλλὰ τοὺς ἄριστα αὐτῶν ἕκαστον ἐξεργαζομένους. μὴ δὲ τοὺς περὶ τούτων ζητοῦντάς τι λέγειν περὶ ὧν μηδ' ὅσ' πρότερον εἰρήκεν. ἀλλὰ τοὺς οὕτως ἐπιχειρεῖν μουσικεῖν, ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο. καὶ τοῖς μὲν ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι. καὶ λίαν ἀπηκριβωμένοις. καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε οὐ τοὺς πρὸς ὑπερβολὴν πεποιημένους πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν τοιούτων συμβολαίων ποιουμένους ὡς ἀμείνους ἀμφοτέρους δεῖν εἶναι ἀλλ' οὐ τοὺς μὲν ἀσφαλῶς τοὺς δὲ ἐπιδεξίως. ἢ φεύγειν μὲν δεῖν τὰς μετριότητας τὰς δὲ ἀκριβοῦν ἐπὶ τὰ μέγιστα λόγου ἀπαιτοῦν δεῖν ἔχομεν δεινὰ ἀθροῦν ἢ πῶς

Καιροὶ πω

φιλοσοφεῖν

Aduerte q̃ ratio artis & scientiæ incrementu accipiunt

Πάλαιὰ καινῶς. καὶ τὰ καινὰ παλαιῶς

∴ supflint

Ισοκράτους λόγος

περὶ τῶν ἰδίων συμβολαίων σκοποῦσιν. ὥσπερ ὁμοίως
ἀμφοτέρους δέον ἔχθειν, ἀλλ' οὓς μὲν ἀσφαλῶς, τοὺς
δὲ ἐπιδεικτικῶς. ἡσθέντας μὲν διορῶντας τὰς μὲν ἀρετὰς
τὸν δὲ ἀκριβῶς ἐπιστάμενον λέγειν, ἁπλῶς οὐκ ἂν
μὴ δυνάμενον εἰπεῖν· οὗτοι μὲν οὖν ὁμολογοῦσιν ὅτι τοῦ-
τους ἐπαινοῦσιν, ὧν ἐπιτυγχάνουσιν οὗτοι· ἐμοὶ
δ' οὐδὲν πρὸς τοὺς τοιούτους ἐστίν· ἀλλὰ πρὸς ἐκείνους
οὓς οὐδὲν ἀποδεχόμενοι εἰκῇ τῶν λεγομένων, ἀλλὰ δυ-
σχεραίνοντας καὶ ζητήσοντας εἴ τι τοιοῦτον ἐν τοῖς ἐ-
μοῖς λόγοις, ὃ παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσουσι· πρὸς οὓς
ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ θρασυνάμενος, ἤδη περὶ τοῦ πρά-
γματος ποιήσομαι τοὺς λόγους. τοὺς μὲν γὰρ ἄλλους ἐν
τοῖς προοιμίοις ὁρῶ καταπραυνομένους τοὺς ἀκροατάς,
καὶ προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι· καὶ
λέγοντας τοὺς μὲν ὡς ἐξ ὑποτύου γέγονεν αὐτοῖς ἡ παρα-
σκευή· τοὺς δὲ ὡς χαλεπὸν ἐστιν ἴσους τῷ μεγέθει λό-
γους τῶν ἔργων εὑρεῖν· ἐγὼ δ' ἡμῖν μὴ καὶ τοῦ πράγματος
δεῖσθαι εἰπεῖν, καὶ τῆς δόξης τῆς ἐμαυτοῦ, καὶ τοῦ χρόνου,
μὴ μόνον τοῦ περὶ τὸν λόγον ἡμῖν διατριβέντος, ἀλλὰ
καὶ σύμπαντος οὐδενὸς ἀκοῦσαι, παρακελεύομαι μηδεμίαν μοι
συγγνώμην ἔχειν, ἀλλὰ καταγελᾶν καὶ καταφρονεῖν· οὐδὲν
γὰρ ὅτι τῶν τοιούτων οὐκ ἄξιός εἰμι μὴ πάσχειν· εἰ περὶ μὴ
δὲν τῶν ἄλλων διαφέρων, οὕτω μεγάλας τὰς ὑποσχέ-
σεις ποιοῦμαι περὶ μὲν οὖν τῶν ἰδίων, ταῦτα μοι προειρή-
σθω· περὶ δὲ τῶν κοινῶν, ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδάσκου-
σιν, ὡς χρὴ διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐτοὺς ἔχθρας ἐ-
πὶ τὸν βάρβαρον τραπέσθαι, καὶ διεξέρχονται τάς τε συμφο-
ρὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γενομένας, καὶ
τὰς ὠφελείας τὰς ἐκ τῆς στρατείας τῆς ἐπὶ κεφάλαιον ἐσο-
μένας, ἀληθῆ μὲν λέγουσιν· οὐ μὴν ἐνταῦθεν γε ποιοῦνται τὴν
ἀρχήν, ὅθεν ἂν μάλιστα συνῆσαι ταῦτα δυνηθείεν· τῶν γὰρ ἑλ-
λήνων οἱ μὲν ὑφ' ἡμῖν, οἱ δὲ ὑπὸ λακεδαιμονίοις εἰσίν· αἱ γὰρ
πολιτεῖαι δι' ὧν οἰκοῦσι τὰς πόλεις, οὐ τοὺς πολίτας αὐτῶν
διειλήφασιν· ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθόν,

ὅτι τῶν τοιούτων

ἐξ ὑποτύου

ὑπόμνημα πρὸς μικρῷ χρόνος

ἐμθὺς, ἐπελθόντες

1. exordium facientes

δεικνύθεν

ἐξ ὑποτύου

ὅτι τῶν τοιούτων

ego de ostentatione & inuitatione alios debouit ei [illegible]

πανηγυρικος.

πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς
ἔχει· καὶ πόρρω τῶν πραγμάτων ἐστίν· ἀλλὰ δὴ τοὺς μὴ μόνον
ἐπιδείξιν ποιουμένους, ἀλλὰ καὶ διαπραξάσθαι τι βουλο-
μένους, ἐκφεύγουσι τοὺς λόγους ζητῶ· οἵτινες τὰς πολλὰς
ταύτας πόσους ἐστὶν ἰσομοιρήσαι πρὸς ἀλλήλας· καὶ τάσδε
γεωμετρίας διελέσθαι· καὶ τὰς πλεονεξίας ἃς νῦν παρὰ τῶν ἑλ-
λήνων ἐπιθυμοῦσιν αὐτὰς γίγνεσθαι, ταύτας παρὰ τῶν
βαρβάρων ποιήσασθαι· τὴν μὲν οὖν ἡμετέραν πόλιν, ῥᾴδιον
ἐπὶ ταῦτα προσαγαγεῖν· λακεδαιμόνιοι δὲ ἐνοῦν μὴ ἔτι
δυνάσθαι φασὶν ἔχουσι· παρεγγέφασι γὰρ ψευδῆ λόγον ὡς ἔστιν
αὐτοῖς ἡγεῖσθαι πάτριον· ἣν δὲ ἐπιδείξῃ τις αὐτοῖς ταύτην
τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ ἐκείνων, τάχ' ἂν ἐάσαιεν
τὸ διακριβοῦσθαι περὶ τούτων, ἐπὶ τὸ συμφέρον ἔλθοιεν·
ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐνταῦθεν ἄρχεσθαι· καὶ μὴ πρό-
τερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν, πρὶν περὶ
τῶν ἀμφισβητουμένων ἡμᾶς ἀπαλλάξαι· ἐμοὶ δ' οὖν ἀμ-
φοτέρων ἕνεκα προσήκει περὶ ταῦτα ποιήσασθαι τὴν πλέ-
ξιν διατριβήν· μάλιστα μὲν ἵνα προὔργου τι γένηται· καὶ
παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονεικίας, κοινῇ τοῖς
βαρβάροις πολεμήσωμεν· εἰ δὲ τοῦτο ἐστὶν ἀδύνατον, ἵνα
δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν ἑλλήνων εὐδαιμο-
νίᾳ· καὶ πᾶσι γένηται φανερόν, ὅτι καὶ πρότερον ἡ πόλις ἡ
ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε· καὶ νῦν οὐκ ἀδίκως ἀμ-
φισβητεῖ περὶ τῆς ἡγεμονίας· τοῦτο μὲν γὰρ δεῖ τούτους
ἐφεκάστω τιμᾶσθαι τῶν ἔργων τοὺς ἐμπροσθεν τούσ ὄν-
τας, καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως
ἡμῖν προσήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἣν πρότερον ἐ-
τυγχάνομεν ἔχοντες· οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπι-
δείξειε, τοσοῦτον ἐν τῷ πολέμῳ τῷ κατὰ γῆν ὑπερέχουσαν,
ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις τοῖς κατὰ θάλατ-
ταν διαφέρουσαν· τοῦτο δὲ εἰ τιμῶεν τὰ τῆς μὲν μὴ μομί-
ζωσι δικαίαν εἶναι τὴν κρίσιν, ἀλλὰ πολλὰς τὰς μετα-
βολὰς γίγνεσθαι, τὰς γὰρ δυνάμεις οὐδέποτε τοῖς
αὐτοῖς παραμένει, ἀξιοῦσι δὲ τὴν ἡγεμονίαν ἔχειν ὡς
περ ἄλλο τι γέρας, ἢ τοὺς πρώτους τυχόντας ταύτης τῆς

λίαν ἁπλῶς ἔχει

ἐπίδειξιν

προὔργου

ἐμποδὼν ὄντας

Τοῦτο μὲν. Lo uno milgo

Τοῦτο δὲ

Τοῦτο μὲν

Τοῦτο δὲ

τιμῆσαι, ἢ τοὺς πλείστων ἀγαθῶν αἰτίους τοῖς ἕλλησιν ὄντας, ἡγούμαι καὶ τούτους ἄξιον μεθ' ἡμῶν· ὅσῳ γὰρ ἂν τις
πορρωτέρω σκοπῇ περὶ τούτων ἀμφοτέρων, τοσούτῳ πλεῖ
ον ἀπολείψομεν τοὺς ἀμφισβητοῦντας περὶ αὐτῶν· ὁμο
λογεῖται μὲν γὰρ τὴν πόλιν ἡμῶν, ἀρχαιοτάτην οὖσαν καὶ με
γίστην· καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην. οὕτω
δὲ καλλίστης ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχομένοις τού
των ἔτι μᾶλλον ἡμᾶς προσήκει τιμᾶσθαι· ταύτην γὰρ οἰ
κοῦμεν οὐχ ἑτέρους ἐκβαλόντες· οὐδ' ἔρημην καταλαβόντες·
οὐδὲ ἐκ πολλῶν ἐθνῶν μιγάδες συλλεγέντες· ἀλλ' οὕτω
καλῶς καὶ γνησίως γεγόναμεν, ὥστε ἐξ ἧς περ ἐφύμεν ταύ
την ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν αὐτόχθονες
ὄντες· καὶ τοῖς ὀνόμασι τοῖς αὐτοῖς, ὥσπερ τοὺς οἰκείους
τοὺς τὴν πόλιν ἔχοντες προσείπομεν· μόνοις γὰρ ἡμῖν τῶν
ἑλλήνων τὴν αὐτὴν τροφὴν καὶ πατρίδα καὶ μητέρα καλεῖν
προσήκει· καὶ τοι χρὴ τοὺς εὐλόγως μεγαφρονοῦντας, καὶ
περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβητοῦντας, καὶ τῶν πα
τρώων πολλάκις μεμνημένους, τοιαύτην τὴν ἀρχὴν τοῦ γέ
νους ἔχοντας φαίνεσθαι τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα
καὶ παρὰ τῆς τύχης δωρηθέντα, τηλικαῦτα ἡμῖν τὸ μέ
γεθος ἐστίν· ὅσῳ δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν,
οὕτως ἂν κάλλιστα ἐξετάσαιμεν· εἰς τόν τε χρόνον ἀπάρ
χης, καὶ τὰς πράξεις τὰς τῆς πόλεως ἐφεξῆς· διελθοι
μεν· εὑρήσομεν γὰρ αὐτὴν οὐ μόνον τῶν πρὸς τὸν πόλεμον
κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς ἐν ἧ κατοικοῦ
μεν καὶ μεθ' ἧς πολιτευόμεθα, καὶ δι' ἣν ζῆν δυνάμεθα, σχε
δὸν ἁπάσης αἰτίαν οὖσαν· ἀνάγκη δὲ προαιρεῖσθαι τῶν
εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα διαλαθούσας, καὶ
κατασιωπηθείσας· ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ πάν
των ἀνθρώπων, καὶ πάλαι, καὶ νῦν καὶ παντάχοῦ καὶ λεγο
μένας καὶ μνημονευομένας· πρῶτον μὲν οὖν, οὐ πρῶτον ἡ
φύσις ἡμῶν ἐδέήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπο
ρίσθη· καὶ γὰρ ἐμυθῴδησε λόγος γεγόνει, ὅμως αὐτῶν καὶ
νῦν ῥηθῆναι προσήκει· δημητρος γὰρ ἀφικομένης ἐς τὴν
χώραν ἡμῶν, ὅτε ἐπλανήθη τῆς κόρης ἁρπασθείσης, καὶ

πορρωτέρω

ἀπολείψομεν

Hanc n. habitantes ab alios ejecimus nec de terris commanentes nec ex multis gentibus mixti collecti: sed sola hanc et legitime

γεγόνασι

δικαίως

Cuncta nomina in Athenis

πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους ἐμεμνῶς διατε
θείσης ἐκ τῶν ἐργεσιῶν, ἃς οὐχ οἷόν τε ἄλλοις ἢ τοῖς με
μυημένοις ἀκούειν, καὶ δοῦσης δωρεὰς δι' τὰς, αἱ περ μέ
γιστα τυγχάνουσιν οὖσαι, τούς τε καρπούς· οἱ τοῦ μὴ θηρίω
δῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετὴν ἧς οἱ μετέ
χοντες περὶ τελετῆς τοῦ βίου τελευτῆς, καὶ τοῦ σύμπαντος
αἰῶνος, ἡδίους τὰς ἐλπίδας ἔχουσιν· οὐ τοίνυν ἡ πόλις ἡμῶν,
οὐ μόνον θεοφιλῶς, ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν· ὥστε
κυρία γενομένη ποιούτων ἀγαθῶν, οὐκ ἐφθόνησε τοῖς ἄλ
λοις· ἀλλ' ὧν ἔλαβεν, ἅπασι μετέδωκε· καὶ, τὰ μὲν ἔτι καὶ νῦν
καθ' ἕκαστον ἐνιαυτὸν ἀγόμενα· τῶν δὲ συλλήβδην τὰς ἀ
εργεσίας καὶ τὰς χρείας καὶ τὰς ὠφελείας τὰς δι' αὐτῶν γι
γνομένας ἐδιδάξαμεν· καὶ τούτοις ἀπιστοῦμεν· μικρὸν ἔτι ἡ
μῶν προσθιέντων, οὐδ' ἂν ἀξιώσειεν· πρῶτον μὲν γὰρ, ἐξ
ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων ὡς ἀρχαίων ὄντων,
ἐκ τῶν αὐτῶν τούτων εἰκότως ἂν καὶ τὰς πράξεις γεγε
νῆσθαι νομίσειεν· διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι, καὶ πάν
τας ἀκηκοέναι, προσήκει μὴ καινὰ μὲν, πιστὰ δ' ἐδοκεῖν εἶναι
τὰ λεγόμενα περὶ αὐτῶν· ἐπειτα οὐ μόνον ἐν, ταῦθα κατα
φυγεῖν ἔχομεν· ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ πα
ρειλήφαμεν· ἀλλὰ καὶ σημείοις μείζοσιν, ἢ τούτοις ἐστὶν ὑμῖν
χρήσασθαι περὶ αὐτῶν· αἱ μὲν γὰρ πλεῖσται τῶν πό
λεων, ὑπομνήματα τῆς παλαιᾶς ἐργεσίας, ἀπαρχὰς
τοῦ σίτου καθ' ἕκαστον ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι.
ταῖς δ' ἐκλεπούσαις, πολλάκις ἡ πυθία προσέταξεν ἀ
ποφέρειν τὰ μέρη τῶν καρπῶν· καὶ ποιεῖν, πρὸς τὴν πόλιν τὴν
ἡμετέραν τὰ πάτρια· καίτοι περὶ τίνων χρὴ μάλιστα πι
στεύειν, ἢ περὶ ὧν ὅτε θεοὶ ἀναιρεῖ, καὶ πολλοῖς τῶν ἑλλήνων
συνδοκεῖ· καὶ τὰ τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμ
μαρτυρεῖ· καὶ τὰ νῦν γιγνόμενα, τοῖς ὑπὲκείνων ἐρημένοις
ὁμολογεῖ· χωρὶς δὲ τούτων, ἐὰν ἅπαντα ταῦτα ἐάσαντες
ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν ὅτι τὸν βίον οἱ πρῶ
τοι φανέντες ἐπὶ γῆς, οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα
κατέλαβον· ἀλλὰ κατὰ μικρὸν αὐτοῖς συνεπορίσαντο· τί
μᾶν οὖν χρὴ μᾶλλον νομίζειν, ἢ δωρεὰν παρὰ τῶν θεῶν λαβεῖν.

ἐκ πολλοῦ

Plurime n. Civitatis monumenta mensis benedicti primitias frumenti singulis annis ad nos mittunt

τὰ πάτρια

καὶ τὰ μικρὸν

συνεπορίσαντο

ἀντυχῶν

Immemisse

ἢ ζητοῦντας αὐτοὺς ἐντυχεῖν. οὓς τοὺς ὑπὸ πάντων ὁμο
λογουμένους, καὶ πρώτους γενομένους, καὶ πρὸς τὰς τέχνας εὑρετὰς ὄντας, καὶ πρὸς τὰ τῶν θεῶν εὐσε
βέστατα διακειμένους; καὶ μὴν ὅσης προσήκει τιμῆς τυγ
χάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους, πάρεργον δι
δάσκειν. οὐδ' ἂν γὰρ οἶμαι δύνασθαι δωρεὰς τοσαύτης τὸ
μέγεθος εὑρεῖν, ἥτις ἴση τοῖς πεπραγμένοις ἐστὶν περὶ μὲν
οὖν τοῦ μεγίστου τῶν ἐργετημάτων, καὶ πρώτου γενο
μένου καὶ πασι κοινοτάτου, ταῦτ' ἔχομεν εἰπεῖν περὶ δὲ τοὺς
αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην
τῆς χώρας κατεχόντας, τοὺς δὲ ἕλληνας ἐν μικρὸν
τόπον κατακεκλεισμένους, καὶ διὰ σπανιότητα τῆς γῆς
ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς, καὶ στρατείας ἐπ' ἀλλή
λους ποιουμένους, καὶ τοὺς μὲν διὰ μισθοφόρων καθ' ἡμέ
ραν, τοὺς δὲ διὰ τὸν πόλεμον ἀπολλυμένους, οὐδὲ ταῦθ'
οὕτως ἔχοντα περιεῖδεν. ἀλλ' ἡγεμόνας ἐς τὰς πόλεις
ἐξέπεμψεν. οἱ παραλαβόντες τοὺς μάλιστα βίου δεομέ
νους, στρατηγοὶ καταστάντες αὐτῶν, καὶ πολέμῳ κρατη
σάντες τοὺς βαρβάρους, πολλὰς μὲν ἑφεκάτερα τῆς ἠ
πείρου πόλεις ἔκτισαν. πάσας δὲ τὰς νήσους κατῴκι
σαν. ἀμφοτέρους δὲ καὶ τοὺς ἀκολουθήσαντας, καὶ τοὺς
ὑπομείναντας ἔσωσαν. τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἰκοι χώ
ραν κατέλιπον. τοῖς δὲ, πλέω τῆς ὑπαρχούσης ἐπόρι
σαν. ἅπαντα γὰρ περιεβάλοντο τὸν τόπον, ὃν νῦν τυγ
χάνομεν κατέχοντες ὥστε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀ
ποικίσαι τιμᾶσ, καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν,
πολλὴν ῥᾳστώνην ἐποίησαν. οὐ γὰρ αὐτοὺς ἐδεῖτο μένουσ
χώραν διακινδυνεύειν. ἀλλ' εἰς τὴν ἀφ' ἡμῶν ἀφορισθεῖσαν,
ἐς ταύτην οἰκεῖν ἰόντας. καίτοι τίς ἂν ταύτης ἡγεμο-
νίας ἐπιδείξειεν, ἡ πατριωτέραν τῆς προτέρου γενομένης
πρὶν πλείστας οἰκισθῆναι τῶν ἑλληνίδων πόλεων. ἢ μᾶλ
λον συμφέρουσαν, τῆς τοὺς μὲν βαρβάρους ἀναστάτους
ποιησάσης, τοὺς δὲ ἕλληνας ἐπὶ τοσαύτην ἀπορίαν
προαγαγούσης; οὐ τοίνυν ἐπεδείκνυ τὰ μέγιστα συνδιεπρα
ξε, τῶν ἄλλων ὀλιγωρήσεν. ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσα

πρότερον πεῖν οἰκισθῆναι

ἡγεμονίαν

τὸ τῶν ἐργεσιῶν, τροφὴν τοῖς δεομένοις ἀρεῖν. ἣν τὸν
χρὴ τοὺς μελλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοικεῖν
σφῶν ἡγουμένην δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον, οὐ πᾶσιν
ἐπιθυμεῖν ἀξίως εἶχεν, οὕτως ἐπεμελήθη καὶ τῶν λοι
πῶν, ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις ἀγαθῶν ὅσα
μὴ παρὰ τῶν θεῶν ἔχομεν, ἀλλὰ δι' ἀλλήλους ἡμῖν γέγονε,
μηδὲν μεῖον ἄνευ τῆς πόλεως τῆς ἡμετέρας εἶναι. τὰ δὲ
πλεῖστα διὰ ταύτην γεγενῆσθαι παραλαβοῦσα γὰρ τοὺς
ἕλληνας ἀνόμως ζῶντας, καὶ σποράδην οἰκοῦντας, καὶ τοὺς
μὲν ὑπὸ δυναστῶν ὑβριζομένους, τοὺς δὲ δι' ἀναρχίαν
ἀπολλυμένους, καὶ τούτων τῶν κακῶν αὐτοὺς ἀπήλλαξε.
τῶν μὲν κύρια γενομένη. τοῖς δ' οὖν τὴν παράδειγμα ποιη
σάσα. πρώτη γὰρ καὶ νόμους ἔθετο. καὶ πολιτείαν κατε
στήσατο. δῆλον δὲ ἐκ τῶν. οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φυσικῶν
ἐγκαλέσαντες, καὶ βουληθέντες μετὰ λόγου, καὶ μὴ μετὰ
βίας διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν τοῖς νόμοις
τοῖς ἡμετέροις τὰς κρίσεις ἐποιήσαντο περὶ τούτων.
καὶ μὴν δὴ καὶ τῶν τεχνῶν, τάς τε πρὸς τὰ ἀναγκαῖα τοῦ
βίου χρησίμας, καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς
μὲν εὑροῦσα, τὰς δὲ δοκιμάσασα, χρῆσθαι τοῖς λοιποῖς
παρέδωκε. τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω φιλοξένως κα
τεσκευάσατο, καὶ πρὸς ἅπαντας οἰκείως, ὥστε καὶ τοῖς
χρημάτων δεομένοις, καὶ τοῖς ἀπολαύσαι τῶν ὑπαρχόν
των ἐπιθυμοῦσιν, ἀμφοτέροις ἁρμόττειν. καὶ μήτε τοῖς
ἀδικουμένοις, μήτε τοῖς δυστυχοῦσιν ἐν ταῖς ἑαυτῶν ἀ
χρήστως ἔχειν, ἀλλ' ἑκατέροις αὐτῶν εἶναι παρήμιν, τοῖς
μὲν ἠδίστας διατρίβαις, τοῖς δὲ ἀσφαλεστάτην κατα
φυγήν. ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη κεκτημένων ἑκάστων, ἀλ
λὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ πλείω τῶν ἱκανῶν φέρου
σαν, καὶ πολλῆς ἀπορίας οὔσης, τὰ μὲν ὅπου χρὴ διαθεῖναι,
τὰ δὲ ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς συμφοραῖς
ἐπήμυνεν. ἐμπόριον γὰρ ἐν μέσῳ τῆς ἑλλάδος τὸν πει
ραιᾶ κατεστήσατο. τοσαύτην ὑπερβολὴν ἔχον, ὥστε ἅπα
νὰ τῶν ἄλλων ἐν παρεκάστῳ χαλεπὸν ἐστι λαβεῖν, ταῦθ' ἁ-

Leges

Politia 1. civilitas

Artes

πάντα παρ' αὐτῆς ῥάδιον εἶναι πορίσασθαι. τῶν τοίνυν τὰς
παμηγύρεις καταστησάντων, δικαίως ἐπαινουμένων, ὅτι
τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν, ὥστε σωφρονοῦντας πρὸς
ἀλλήλους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσαμένους,
συνελθεῖν εἰς ταὐτόν. μετὰ δὲ τοῦτο εὐχὰς καὶ θυ-
σίας κοινὰς ποιησαμένους, ἀναμιμνησθῆναι μὲν τῆς συγ-
γενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, ἀμνησικακῆσαι
δὲ τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτούς· καὶ
τὰς τε παλαιὰς ξενίας ἀναλαβεῖν καὶ κοινὰς ἄλλας
ποιήσασθαι. καὶ μήτε τοῖς ἰδιώταις, μήτε τοῖς διενεγκοῦ-
σι τὴν φύσιν ἀργὸν εἶναι τὴν διατριβήν· ἀλλὰ ἀθροισθέντων
τῶν ἑλλήνων εἰς ἕν, γενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς
ἑαυτῶν εὐτυχίας· τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλ-
λήλους ἀγωνιζομένους, καὶ μὴ δὲ ἑτέρους ἀθύμως διαγεῖν,
ἀλλ' ἑκατέρους ἔχειν ἐφ' οἷς φιλοτιμηθῶσιν, οἱ μὲν ὅταν ἴδω-
σι τοὺς ἀθλητὰς ἑαυτῶν ἕνεκα πονοῦντας· οἱ δὲ ὅταν
ἐνθυμηθῶσιν ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσι,
τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς σιωδοῦσι ἡμῖν γιγνο-
μένων, οὐδὲν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη. καὶ γὰρ
θέαματα πλεῖστα καὶ κάλλιστα κεκτῆται. τὰ μὲν τοῖς δα-
πάναις ὑπερβάλλοντα. τὰ δὲ κατὰ τὰς τέχνας ἀδοκι-
μοῦντα· τὰ δὲ ἀμφοτέροις τούτοις διαφέροντα· καὶ τὸ πλῆ-
θος τῶν ἀφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν ἐστιν, ὥστε εἴ τι
ἐν τῷ πλησιάζειν ἀλλήλους ἀγαθόν ἐστι, καὶ τοῦτο ὑπὸ ταύτης
περιγεγένηται· πρὸς δὲ τούτοις καὶ φιλίας ἀρίστας κτᾶσθαι, καὶ
συνουσίας ἐν τυχεῖν παντοδαπαῖς, μάλιστα παρ' ἡμῖν ἐστιν·
ἔτι δὲ ἀγῶνας ἰδεῖν, καὶ μὴ μόνον τάχους καὶ ῥώμης, ἀλλὰ
καὶ λόγων καὶ γνώμης, καὶ τῶν ἄλλων ἔργων ἁπάντων· καὶ τού-
των ἆθλα μέγιστα. πρὸς γὰρ οἷς αὐτὴ τίθησι, καὶ τοὺς ἄλλους
διδόασι συμπαραπείθειν. τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα, τοσαύτην
λαμβάνει δόξαν, ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶ-
σθαι· χωρὶς δὲ τούτων, ἃ μὲν ἄλλαι παμηγύρεις διὰ πολλοῦ
χρόνου συλλεγεῖσαι, ταχέως διελύθησαν· ἡ δὲ ἡμετέρα πόλις
ἅπαντα τὸν αὐτῶν τοῖς ἀφικνουμένοις παμηγυρίζει· φιλο-

σοφίαν τοίνυν ἡ πάντα ταῦτα σοι ἐξεῦρε· καὶ συγκαταστεύα-
σε· καὶ πρόστατον πρᾶξιν ἡμᾶς ἐπαίδευσε· καὶ πρὸς
ἀλλήλους ἐπράυνε· καὶ τῶν συμφορῶν τάς τε διαμαθίας,
καὶ τὰς ἐξαμάρτησις γιγνομένας διέλυε· καὶ τὰς μὲν φυλάττεσθαι,
τὰς δὲ καλῶς ἐνεγκεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν καὶ λόγους
ἐτίμησεν· ὧν πάντες μὲν ἐπιθυμοῦσι· τοῖς δὲ ἐπιτυγχά-
νουσι φθονοῦσι· συμφυΐα μὲν, ὅτι τοῦτο μόνον ἐξ ἁπάντων
τῶν ζώων ἴδιον ἔφυμεν ἔχοντες· καὶ ὅτι τούτῳ πλεονεκτή-
σαντες, καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διήνεγκαμεν· ὁρῶσα
δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω παραχώδεις οὔσας
τὰς τύχας, ὥστε πολλάκις ἐν αὐταῖς, καὶ τοὺς φρονίμους
ἀτυχεῖν· καὶ τοὺς ἀμηχάνους κατορθοῦν· τῶν δὲ λόγων τῶν
καλῶς καὶ τεχνικῶς ἐχόντων, οὐ μετὸν τοῖς φαύλοις· ἀλ-
λὰ ψυχῆς ἀφρονούσης ἔργον ὄντας· καὶ τοὺς τε σοφοὺς καὶ
τοὺς ἀμαθεῖς δοκοῦντας εἶναι, ταύτην πλεῖστον διαφέρον-
τας· ἔτι δὲ τοὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους· εκ
μὲν ἀνδρίας καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γι
γνωσκομένους· εκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς
γιγνομένους· καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν
ἑκάστου πιστότατον ἀποδεδειγμένον· καὶ τοὺς τῷ λόγῳ
καλῶς χρωμένους, οὐμόνον ἐν ταῖς αὐτῶν δυναμένους,
ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας, τοσοῦτον
ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τοῦ φρονεῖν καὶ λέγειν τοὺς
ἄλλους ἀνθρώπους, ὥστ' οἱ τούτης μαθηταὶ τῶν ἄλλων
διδάσκαλοι γεγόνασι· καὶ τὸ τῶν ἑλλήνων ὄνομα πεποίηκε,
μηκέτι τοῦ γένους, ἀλλὰ τῆς διανοίας δοκεῖν τεκμήριον
εἶναι· καὶ μᾶλλον ἕλληνας καλεῖσθαι, τοὺς τῆς παιδεύσεως
τῆς ἡμετέρας, ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.
Εἰ μὲν οὖν δοκῶ περὶ τὰ μέρη διατρίβειν, ὑπὲρ ὅλων τῶν
πραγμάτων ὑποθέμενος ἔρειν, μὴ δὲ ἐκ τούτων ἐγκωμιάζειν
τὴν πόλιν, ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ἀλ-
λὰ μὴ ἐρεῖν θωμοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμου
μένους· ἡγοῦμαι δὲ τοὺς προγόνους ἡμῶν, οὐχ ἥττον ἐκ τῶν
κινδύνων τῶν πρὸς τὸν πόλεμον τιμᾶσθαι προσήκειν, ἢ
τῶν ἄλλων ἔργων· οὐ γὰρ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἐ

Athenarum discipuli aliarque civitatum doctores fuerit.

ἀφαιρεῖσθαι ἀγῶνας ὑπὲρ αὐτῶν. ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους· τοὺς μὲν ὑπὲρ τῆς αὐτῶν χώρας· τοὺς δὲ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ τὸν χρόνον διετέλεσαν, κοινὴν τὴν πόλιν παρεχόντες· καὶ τοῖς ἀδικουμένοις ἀεὶ τῶν ἑλλήνων ἐπαμύνουσαν. διὸ δὴ καὶ καταγορεύουσι τινὲς ἡμῶν, ὡς οὐκ ὀρθῶς βουλευομένων· ὅτι τοὺς ἀεὶ ἐμεγέρους εἰθίσαμεθα θεραπεύειν· ὡς περὶ οὐ μετὰ τῶν ἐπαινούντων βουλόμενοι ἡμᾶς τοὺς λόγους ὁρᾶν τοὺς τοιούτους· οὐ γὰρ ἀγνοοῦντες ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφάλειαν, οὕτως ἐβουλευσάμεθα περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰς συμβαίνοντας ἐκ τῶν τοιούτων· ὅμως ἡρούμεθα τοῖς ἀεὶ ἐμεγέροις, καὶ παρὰ τὸ συμφέρον βοηθεῖν μᾶλλον, ἢ τοῖς κρείττοσι τοῦ λυσιτελοῦντος ἕνεκα συναδικεῖν· γνοίη δ' ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τῆς πόλεως, ἐκ τῶν ἱκετείων ἃς ἐποιήσαντο· τὰς μὲν οὖν ἡμέρας τὰς γενομένας, ἢ περὶ μικρῶν ἐλθούσας, παραλείψω· πολὺ δὲ πρὸ τῶν τρωικῶν· ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν· τοὺς περὶ τῶν πατρίων διαφισβητοῦντας ἦλθον οἴδε· Ἡρακλέους παῖδες· καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Ταλαοῦ, Βασιλεὺς ὢν Ἀργείων· οὗτος μὲν ἐκ τῆς στρατείας δεδυστυχηκὼς τῆς ἐπὶ Θήβας· καὶ τοὺς ἐπὶ τῇ καταστρεφείᾳ τελευτήσαντας, ὡς τοῦ μὲν οὐ δυναμένου ἀμελεῖσθαι· τὴν δὲ πόλιν ἡμῶν ἀξιοῦντος βοηθεῖν ταῖς κοιναῖς τύχαις· καὶ μὴ παρορᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτάφους γιγνομένους· μὴ δὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον· οἱ δὲ παῖδες Ἡρακλέους φεύγοντες τὴν Εὐρυσθέως ἐχθραν· καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς ἑαυτῶν συμφοραῖς· τὴν δὲ ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν, ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαντας ἀνθρώπους εὐηργέτησεν· ἐκ δὲ τούτων, ῥᾴδιον κατιδεῖν, ὅτι καὶ κατὰ τὸν χρόνον, ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχε· καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ περὶ τῆς ἡγεμονίας· τίνες γὰρ ἂν ἱκετεύειν ἐβουλήθησαν, ἢ τοὺς ἢ τοῦς αὐτῶν, ἢ τοὺς ὑφ' ἑτέροις ὄντας·

Nota modū loquēdi

Adrastus. Heraclidae Adrastus Talaus

Thebas videtur appellare regionem. Cadmea autem ipsam urbē. quod ÷ sumethotandū

ἢ. ἀδυνατοῦντες

παραλιπόντες τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων, ἀλλὰ κοινῶν· καὶ περὶ ὧν οὐδένας ἄλλους ἀξιοῦν ἐπιμελεῖσθαι, πλὴν τῶν προεστάναι τῶν ἑλλήνων ἀξιούντων· ἐπεὶ τοσοῦτον ἐψευσθέντες φαίνονται τῶν ἐλπίδων· διὰ τὰς καταφυγὴν ἐπὶ τοὺς προγόνους ἡμῶν· ἀγελόμενοι γὰρ τὸν πόλεμον, ὑπὲρ μὲν τῶν τελευτησάντων, πρὸς θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν ἡρακλέους πρὸς τὴν εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντες, ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς νεκροὺς τοῖς προσήκουσι· πελοποννησίων δὲ τοὺς μετ' εὐρυσθέως ἐς τὴν χώραν ἡμῶν ἐς βαλόντας ἐπεξελθόντες, ἐνίκησαν μαχόμενοι· κἀκείνων τῆς ὕβρεως ἐπαύσαν· θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις, ἐκ τούτων τῶν ἔργων ἔτι μᾶλλον ἐδοκίμησαν· οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν· ἀλλὰ τοσοῦτον τὰς τύχας ἑκατέρων μετήλλαξαν, ὥστ' ὀμὲν ἱκετεύειν ἡμᾶς ἀξιοῦσας, βίᾳ τῶν ἐχθρῶν κρατήσασας, ἅπαν θ' ὅσων ἐδεήθη διαπραξάμενοι ἀπῆλθεν· εὐρυσθεὺς δὲ βιάσασθαι προσδοκήσας, αὐτὸς αἰχμάλωτος γεγονώς, ἱκέτης ἠναγκάσθη καταστῆναι· καὶ τῷ μὲν ὑπερεμεγέθει τὴν ἀνθρωπίνην φύσιν, ὅσον ἐκ δίου μὴ γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην ἔσχε, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν· ἐπεὶ δὲ ἐς ἡμᾶς ἐξήμαρτεν, ἐς τοσαύτην κατέστη μεταβολήν, ὥστε ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενομένοις, ἐπορεύθη· ἐν τῷ βίῳ τελευτήσας· πολλῶν δὲ ὑπαρχουσῶν εὐεργεσιῶν ὑμῖν ἐς τὴν πόλιν τῶν λακεδαιμονίων, περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν· ἀφορμὴν γὰρ λαβόντες τὴν δι' ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν, οἱ πρόγονοι μὲν τῶν νῦν ἐν λακεδαίμονι βασιλευόντων, ἔκγονοι δὲ ἡρακλέους, κατῆλθον μὲν ἐς πελοπόννησον· κατέσχον δ' ἄργος καὶ λακεδαίμονα, καὶ μεσήνην· οἰκεῖται δὲ ἀσάρτης ἐγένοντο· καὶ τῶν παρόντων αὐτοῖς ἀγαθῶν ἁπάντων, ἀρχηγοὶ κατέστησαν· ὧν ἐχρῆν ἐκείνους μεμνημένους, μὴ δεῖν τὴν χώραν ταύτην ἐμβαλεῖν· ἐξῆς ὁρμηθέντες αὐτῶν οἱ πρόγονοι, εἰσ

Athenienses beneficia in Lacedaemonios. nota pro arisotele in ethicis.

τοσαύτην δ' αἰμυΐαν καθέστησαν. μὴ δείσας κινδύνους καθιστάναι τὴν πόλιν, τὴν ὑπὲρ τῶν παίδων τῶν ἡρακλέους προκινδυνεύσασαν. μὴ δὲ τοῖς μὲν ἀπεκφύγουσι γενομένοις, διδόναι τὴν βασιλείαν. τὴν δὲ τῶν εὐεργετῆσαι σωτηρίας αἰτίαν οὖσαν, δουλεύειν ἑαυτοῖς ἀξιοῦν. ἃ δὲ δεῖ τὰς χάριτας καὶ τὰς ἐπιφανείας ἀμελοῦντας, ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐπανελθεῖν, καὶ τὸν ἀκριβέστατον τῶν λόγων ἃ πρῶν. οὐδὲ ἡπτοῦ πατρίδος ἔφη, ἡγεῖσθαι τοὺς ἐπηλύδας τῶν αὐτοχθόνων. οὐδὲ τοὺς δι' παθόντας τῶν δι' ποιησάντων. οὐδὲ τοὺς ἱκέτας γιγνομένους τῶν ὑποδεξαμένων. ἔτι δὲ σιωπῶν μωτέρως ἔχω δηλῶσαι περὶ αὐτῶν. τῶν μὲν γὰρ ἑλληνίδων πόλεων χωρὶς τῆς ἡμετέρας ἄρξος καὶ θῆβαι καὶ λακεδαίμων, καὶ τοτήσαν μέγιστα. καὶ μόνε ἔτι διατελοῦσι φαίνομται δὲ ἡμῶν οἱ πρόγονοι, τοσοῦτον ἀπάντων διενεγκόντες, ὥσθ' ὑπὲρ μὲν ἀρχῶν δυστυχήσαντων θηβαίοις, ὅτε μεγίστον ἐφρόνησαν ἐπιτάττοντες. ὑπὲρ δὲ τῶν παίδων τῶν ἡρακλέους, ἀρείους καὶ τοὺς ἄλλους πελοποννησίους μαχήσαντες. ἐκ δὲ τοῦ πρὸς ἀρυσθένα κινδύνου, τοὺς οἰκίας τῆς σπάρτης, καὶ τοὺς ἡγεμόνας τοὺς λακεδαιμονίων διασώσαντες. ὥστε περὶ μὲν τῆς ἐν τοῖς ἕλλησι δυνάστας, οὐκ οἶδ' ὅπως ἄπτις σαφέστερον ἐπιδεῖξαι δυνήθειν. δόκει δὲ μοι καὶ περὶ τῶν πρότερον τῶν πρὸς τοὺς βαρβάρους τὴν πόλει πεπραγμένων προσήκειν εἰπεῖν. ἄλλως τε, ἐπειδὴ καὶ τὸν λόγον κατεστήσαμεν περὶ τῆς ἡγεμονίας τῆς ἐπὶ τὰς ἔκφυγον. ἁπάντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους, λίαν ἂν μακρολογίαν. ἐπὶ δὲ τῶν μεγίστων (τὸν αὐτὸν τρόπον ὃν πρόλεγω πρότερον διῆλθον) πειράσομαι καὶ περὶ τούτων διελθεῖν. ἔστι γὰρ ἀρχικὰ τὰ μὲν τῶν ἐθνῶν, καὶ μεγίστας δυνάστειαν ἔχοντα. σκύθαι καὶ θρᾶκες, καὶ πέρσαι. τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες. ἡ δ' ἡμετέρα πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. καίτοι τί λοιπὸν ἔστι τοῖς ἀπιλέγουσιν, ἢν ἐπιδείξωσι τῶν μὲν ἑλλήνων, οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων, ἡμᾶς ἱκετεύειν ἀξιοῦντες. τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώσασθαι τοὺς ἕλληνας, ἐφ' ἡμᾶς πρώτους ἰόντες ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων, ὁ περσικὸς γε-

Scythe. Thraces. Persæ

γονεν. οὐμὴν ἐλάττω τούτων τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστί, τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. ἔτι γὰρ τὰ πρῶτα οὖσης τῆς ἑλλάδος, ἦλθον ἐς τὴν χώραν ἡμῶν. θρᾶκες μὲν μετὰ τὸν πολὺ τοῦ πρόσθεν χρόνον. σκύθαι δὲ μετὰ ἀμαζόνων τῶν ἄρεως θυγατέρων. οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς ἀρετῆς ἐπῆρχον. μισοῦντες μὲν ἅπαν τὸ τῶν ἑλλήνων γένος. ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι. νομίζοντες ἐκ τούτου τοῦ τρόπου, πρὸς μίαν μὲν πόλιν κινδυνεύσειν. ἁπασῶν δὲ ἐμμακρατήσειν. οὐμὴν κατόρθωσαν. ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες, ὁμοίως διεφθάρησαν, ὡς περὶ ἂν πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν. δῆλον δὲ τὸ μέγεθος τῶν κακῶν τῶν γενομένων ἐκείνοις. οὐ γὰρ ἂν ποθ' οἱ λόγοι περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ κατὰ τὰ πραχθέντα πολὺ τῶν ἄλλων διήνεγκε λέγεται δ' οὖν περὶ μὲν ἀμαζόνων ὡς τῶν μὲν ἐλθουσῶν, οὐδὲν μία πάλιν ἀπῆλθεν. αἱ δ' ὑπολειφθῆσαι διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν. περὶ δὲ θρακῶν, ὅτι τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες ἡμῖν, διὰ τὴν τότε γενομένην στρατείαν τοσοῦτον διέλιπον, ὥστε ἐν τῷ μεταξὺ τῆς χώρας ἔθνη πολλά, καὶ γένη παντοδαπά, καὶ πόλεις μεγάλας κατοικεῖσθαι. καλὰ μὲν οὖν καὶ τὰ τοῦτα καὶ πρέποντα, τοῖς περὶ τῆς ἡγεμονίας διαμφισβητοῦσιν. ἀδελφὰ δὲ τῶν ἀρίστων, καὶ τοιαῦτα οἷα πρᾶξαι τοὺς ἐκ τοιούτων γεγονότας. ἃ πρὸς δαρεῖον καὶ ξέρξην πολεμήσαντες ἐπράξαν. μεγίστου γὰρ ἐκείνου πολέμου συστάντος, καὶ πλείστων κινδύνων κατὰ τὸν αὐτὸν χρόνον συμπεσόντων, καὶ τῶν μὲν πολεμίων ἀνυπόστατον οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμμάχων ἀνυπέρβλητον ἡγουμένων εἶναι τὴν ἀρετήν, ἀμφοτέρων κρατήσαντες, ὥστε ἑκατέρω προσήκειν, καὶ πρὸς ἅπαντας τοὺς κινδύνους διενεγκόντες, ἀθύμους μὲν τῶν ἀριστείων ἠξιώθησαν. οὐ πολλῷ δ' ὕστερον τῆς θαλάττης τὴν ἀρχὴν ἔλαβον. δόντων μὲν τῶν ἄλλων ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων. καὶ

Eumolpus. Amazones.

Darius. Xerxes.

41. dareu & xerxe

μηδ᾽ ὡσ οἰόσθωμε ἀγνοῆν, ὅτι καὶ λακεδαιμόνιοι περὶ τούτου τοῦ καιροῦς, πολλῶν ἀγαθῶν αἴτιοι τοῖς ἕλλησι κατέστησαν. ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινῆν ἔχω τὴν πόλιν τὴν ἡμετέραν, ὅτι τοιούτων ἀπαλλαγωνιστῶν τυχοῦσα, τοσοῦτον αὐτῶν διήνεγκε βούλομαι δ᾽ ὀλίγω μακρότερα περὶ τῶν πολέων ταύτην εἰπῆν. καὶ μὴ τὰ χυλίαν παραδραμεῖν. ἵνα μφοτέρων ἡμῖν ὑπόμνημα τὰ γενηθῆ, τῆς τε τῶν προγόνων ἀρετῆς, καὶ τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας. καίτοι με οὐδὲ λέληθεν, ὅτι χαλεπὸν ἐστιν, ὑστερον ἐπελθόντα λέγειν περὶ πραγμάτων, πάλαι προκαταδεδημευμένων. καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν εἰπεῖν, ἐπὶ τοῖς δημοσία θαπτομένοις πολλάκις εἰρήκασιν. ἀναγκαῖον γὰρ τὰ μὲν μέγιστα τούτων, ἢ δηκαταλελεχρῆσθαι. μικρὰ δὲ τίμα παραλελεῖφθαι. ὅμως δὲ ἐκ τῶν ὑπολοίπων, ἐπιδεῖν συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν. πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους, καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι, τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς ἑλλάδος προκινδυνεύσαντας. οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ πολέμου τούτου γεγενημένων καὶ δυναστευσάντων ἑκατέρα τῶν πολέων, δίκαιον ἀμνημονεῖν. ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους. καὶ τὰ πλήθη προτρέψαντες ἐπ᾽ ἀρετῆ. καὶ χαλεπούς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. οὐ γὰρ ὀλιγωρεῖν τῶν κοινῶν. οὐδ᾽ ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δὲ ὡς ἀλλοτρίων. ἀλλ᾽ ἐκήδοντο μὲν ὡς οἰκείων. ἀπεῖχοντο δὲ ὡς περ χρὴ τῶν μηδὲν πρὸς ἡκόντων. οὐδὲ πρὸς ἀργύριον τὴν δ᾽ αἰμονίαν ἐκρίνον. ἀλλ᾽ οὕτως ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις τυγχάνει τοιαῦτα πράττων. ἐξ ὧν αὐτός τε μέλλοι μάλιστα δόκιμος εἶναι. καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν. οὐδὲ τὰς θρασύτητας ἀλλήλων ἐζήλουν. οὐδὲ τὰς τόλμας τὰς καθ᾽ ἑαυτῶν ἤσκουν. ἀλλὰ δόξειν ὁτέρους ἐνομίζον εἶναι, τὸ κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν, ἢ καλῶς ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν. μᾶλλον δὲ ἠσχύνοντο ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν, ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. τούτων δ᾽ ἕνεκ᾽ αἴτιον

καταπεχρῆσθαι
paslme

ὅτι τοὺς μόνους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν. οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων. καὶ τοὺς περὶ τῶν καθ᾽ ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. ἠπίστατο γὰρ, ὅτι τοῖς καλοῖς καὶ ἀγαθοῖς τῶν δικῶν, ὅπων, οὐδὲν δεῖ σφ πολλῶν γραμμάτων. ἀλλὰ ἀπολίγων συνθημάτων, ῥαδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν. οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς φάσεις ἐποιοῦντο πρὸς ἀλλήλους, οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν. ἀλλ᾽ ὁπότεροι ὀφθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες. καὶ τὰς ἑταιρίας συνῆγον, οὐχ ὑπὲρ τῶν ἰδίων συμφερόντων, ἀλλ᾽ ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. τὸν αὐτὸν δὲ τρόπον. καὶ τὰ τῶν ἄλλων διῴκουν θεραπεύοντες. ἀλλ᾽ οὐχ ὑβρίζοντες τοὺς ἑλληνας, καὶ φρονεῖν οἰόμενοι δεῖν, ἀλλὰ μὴ τυραννεῖν αὐτῶν. καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι. καὶ σωτῆρες, ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι. τῶν ποιεῖν προσαγόμενοι τὰς πόλεις. ἀλλ᾽ οὐ βίᾳ καταστρεφόμενοι. πιστότεροι μὲν τοῖς λόγοις, ἢ νῦν τοῖς ὅρκοις χρώμενοι. τοῖς δὲ συνθήκαις, ὥσπερ ἀναγκαίοις ἐμμένειν ἀξιοῦντες. οὐχ οὕτως ἐπὶ τοῖς δυναστείαις μεγαφρονοῦντες, ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι. τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους, ἣν περ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς. ἰδίᾳ μὲν ἀσκῆ, τὰς ἑαυτῶν πόλεις ἡγούμενοι. κοινῇ δὲ πατρίδα τὴν ἑλλάδα νομίζοντες εἶναι. τοιαύταις δὲ διανοίαις χρώμενοι, καὶ τοὺς μετέρους τοιούτοις ἤθεσι παιδεύοντες, οὕτως ἀνδρας ἀγαθοὺς ἀπεδείξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς ἀσίας, ὥστε μηδὲν πώποτε δυνηθῆναι περὶ αὐτῶν μήτε ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις πεπραγμένων εἰπεῖν. καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. ὁμοίως γὰρ ἐστὶ χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβηκότας τὰς τῶν ἄλλων ἀρετὰς, ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας. τοῖς μὲν γὰρ οὐχ ὑπεῖσι πράξεις. πρὸς δὲ τοὺς οὐκ εἰσὶν ἁμαρτήματα τοῖς λόγοι. πῶς γὰρ ἂν γένοιτο σύμμετροι τοιούτοις ἀνδράσιν. οἳ τοσοῦτον τῶν ἐπὶ τροίαν στρατευσαμένων διήνεγκαν. ὅ-

ἄ5η. Notagramatice



quod. s. nõ digne & pro meritis laudauerunt

σον οἱ μὲν περὶ μίαν πόλιν στρατεύσαντες, ἔτη δέκα διέτρι
ψαν· οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς ἀσίας δύναμιν, ἐν ὀλίγῳ χρόνῳ
κατεπολέμησαν· οὐ μόνον δὲ τὰς ἑαυτῶν πατρίδας διέσω-
σαν, ἀλλὰ καὶ τὴν ἑλλάδα σύμπασαν ἠλευθέρωσαν· ποι
ῶν ἀνέργων, ἢ πόνων ἢ κινδύνων ἀπέστησαν, ὥστε εἰκότως
δοκιμεῖν· οἵτινες ὑπὲρ τῆς δόξης τῆς ἐμέλλον τελευτήσαν
τες ἐξίν, οὕτως ἑτοίμως ἠθέλον ἀποθνήσκειν· οἶμαι δὲ καὶ
τὸν πόλεμον τοῦτον, θεῶν τιμὰς συναγαγεῖν· ἀλλὰ θεμιτὰ τὴν
ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλά-
θοιεν· μὴ δὲ ἀκλεῶς τὸν βίον τελευτήσαιεν· ἀλλὰ τῶν αὐτῶν
τοῖς ἐκ τῶν θεῶν γεγονόσι, καὶ καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν·
καὶ γὰρ ἐκείνοι, τὰ μὲν σώματα τοῖς τῆς φύσεως ἀνάγ-
καις ἀπέδοσαν· τῆς δὲ ἀρετῆς, ἀθάνατον τὴν μνήμην κα
τέλιπον· ἃ δὴ καὶ οὗτοι οἱ ἡμέτεροι πρόγονοι καὶ λακεδαιμό-
νιοι, φιλοτίμως πρὸς ἀλλήλους εἶχον· οὐ μὴν ἀλλὰ καὶ πε
ρὶ καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονείκησαν· οὐκ ἐλθροὺς,
ἀλλὰ ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νομίζοντες· οὐδὲ
ἐπὶ δουλείᾳ τῶν ἑλλήνων τὸν βάρβαρον θεραπεύοντες·
ἀλλὰ ἅμα μὲν, περὶ τῆς κοινῆς σωτηρίας ὁμονοοῦντες·
ὁπότεροι δὲ τούτης αἴτιοι γενήσονται, περὶ τούτου ποι
ούμενοι τὴν ἁμιλλαν· ἐπεδείξαντο δὲ τὰς αὐτῶν ἀρετὰς.
πρῶτον μὲν ἐν τοῖς ὑπὸ δαρείου πεμφθεῖσιν· ἀποβάντων
γὰρ αὐτῶν εἰς τὴν ἀττικὴν, οἱ μὲν οὐ περιεμείναν τοὺς συμ-
μάχους· ἀλλὰ τὸν κοινὸν πόλεμον ἴδιον κινδυνον ποιησά
μενοι, πρὸς τοὺς ἁπάσης τῆς ἑλλάδος καταφρονήσαν
τας, ἀπήντων τὴν οἰκείαν δύναμιν ἔχοντες· ὀλίγοι πρὸς
πολλὰς μυριάδας· ὥσπερ ἐν ἀλλοτρίαις ψυχαῖς μελλοντες
κινδυνεύειν· οἱ δὲ οὐκ ἐφθήσαν πυθόμενοι τὸν περὶ τὴν ἀττι-
κὴν πόλεμον, καὶ πάντων τῶν ἄλλων ἀμελήσαντες, ἧκον
ὑμῖν ἀμυνοῦντες· τοσαύτην ποιησάμενοι σπουδὴν· ὅσην
περ τῆς ἑαυτῶν χώρας πορθουμένης· σημεῖον δὲ τοῦ τά
χους καὶ τῆς ἀμίλλης· τοὺς μὲν γὰρ ἡμετέρους προγόνους φα
σὶ τῆς αὐτῆς ἡμέρας πυθέσθαι τε τὴν ἀπόβασιν τὴν τῶν βαρβά
ρων· καὶ βοηθήσαντας ἐπὶ τοὺς ὅρους τῆς χώρας, καὶ μάχην νικη
σαντας, τροπαιοφορῆσαι τῶν πολεμίων· τοὺς δὲ ἐν τρισὶν

Darius

οἱ ἐφθασαν

1. exercitu darij

ἡμέραις, καὶ τοσαύταις μυσὶ διακόσια καὶ χίλια στάδια διελ
θεῖν· στρατοπέδῳ πορευομένους· οὕτω σφόδρα ἠπείχθησαν·
οἱ μὲν μετὰ τῶν κινδύνων· οἱ δὲ ὀφθῆναι συμβαλόντες,
πρὶν ἐλθεῖν τοὺς βοηθήσοντας· μετὰ δὲ ταῦτα, γενομένης τῆς ὑστε
ρον στρατείας, ἣν αὐτὸς ξέρξης ἤγαγεν, ἐκλιπὼν μὲν τὰ βασίλεια,
στρατηγὸς δὲ καταστῆναι τολμήσας, ἁπάντας δὲ τοὺς ἐκ τῆς ἀ
σίας συναγείρας, περὶ οὗ τίς οὐχὶ περβολὰς προθυμηθείς ἂν
πεῖν, ἐλάττω τῶν ὑπαρχόντων ἔφηκεν· ὅσῃς τοσοῦτον ἦλ
θεν ὑπερηφανήσας, ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν
ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνημεῖον καταλι
πεῖν, ὃ μὴ τῆς ἀνθρωπίνης φύσεως ἐστιν, οὐ πρότερον ἐπαύ
σατο πρὶν ἐξεῦρε, καὶ συνηνάγκασεν, ὃ πάντες θαυμάζουσιν, ὥστε
τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πλεῦσαι δὲ πλεῦσαι
διὰ τῆς θαλάττης· τὸν μὲν ἑλλήσποντον ζεύξας· τὸν δὲ ἄθω διο
ρύξας· πρὸς δὴ τὸν οὕτω μεγαλοφρονήσαντα, καὶ τηλικαῦτα δια
πραξάμενον, καὶ τοσούτων δεσπότην γενόμενον ἀπήντων
διελόμενοι τὸν κινδυνον· λακεδαιμόνιοι μὲν τὰς θερμοπύλας,
πρὸς τὸ πλεῖον χιλίους αὐτῶν ἐπιλεξάντες· καὶ τῶν συμμάχων
ὀλίγους παραλαβόντες· ὡς ἐν τοῖς στενοῖς κωλύσοντες αὐτοὺς πε
ραίτερω προελθεῖν· οἱ δὲ ἡμέτεροι πατέρες ἐπὶ Artemisium promontorium Euboeae
ἀρτεμίσιον· ἑξήκοντα τριήρεις πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυ
τικόν· ταῦτα δὲ ποιοῦντες τολμῶν οὐχ οὕτω τῶν πολεμίων
καταφρονοῦντες, ὡς πρὸς ἀλλήλους ἀγωνιζόμενοι· λα
κεδαιμόνιοι μὲν, ζηλοῦντες τὴν πόλιν τῆς ἐν μαραθῶνι
μάχης· καὶ ζητοῦντες ἑαυτοὺς ἐξίσου καταστῆσαι· καὶ
δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν, αἰτία γένη
ται τοῖς ἕλλησι τῆς σωτηρίας· οἱ δὲ ἡμέτεροι πρόγο
νοι μάλιστα μὲν βουλόμενοι διαφυλάξαι τὴν παροῦσαν δόξαν· καὶ πᾶσι ποιῆσαι φανερὸν, ὅτι καὶ πρότερον διαφέρε πατέρες
τὴν, ἀλλοῦ διὰ τὴν τύχην νικήσαν· ἐπείτα δὲ καὶ προσα
γαγέσθαι τοὺς ἑλληνας ἐπὶ τῶν διαναυμαχιῶν· ἐπιδείξαν
τες αὐτοῖς ὁμοίως ἐν τοῖς ναυτικοῖς κινδύνοις, ὥσπερ ἐν
πεζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· ἴσας δὲ τὰς τόλ
μας παρασχόντες οὐχ ὁμοίως ἐχρήσαντο ταῖς τύχαις· ἀλλ' οἱ

μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμα-
σιν ἀπῆγον· οὐ γὰρ δὴ τοῦτο γε θέμις ἦν πρὸς νικήσαντας.
οὐδὲ γὰρ αὐτῶν φυγὴν ἠξίουν· οἱ δὲ ἡμέτεροι τὰς μὲν πρό-
πλους εἰκήσαν· ἐπειδὴ δὲ ἤκουσαν τῆς παροδοῦ τοὺς πο-
λεμίους κρατοῦντας, οἷα δὲ κατεπλεύσαντες, οὕτω σε-
βουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε πολλῶν καὶ καλῶν αὐ-
τοῖς προφρασμένων, ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἐπὶ
πλέον διεγνῶν· ἀθύμων γὰρ ἁπάντων τῶν συμμάχων
διακειμένων, καὶ πελοποννησίων μὲν διατειχιζόντων τὸν
ἰσθμόν· καὶ ζητοῦντα μὴ ἰδίαν αὐτοῖς σωτηρίαν, τῶν δὲ ἄλλων
πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ στρατευομέ-
νων ἐκείνοις, πλὴν εἴ τις διὰ σμικρότητα παρημελήθη, προσ-
πλουσῶν δὲ τριηρῶν διακοσίων καὶ χιλίων· καὶ τῆς πεζῆς
στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν ἀττικὴν ἐκβάλλειν,
οὐδὲ μιᾶς σωτηρίας αὐτοῖς ὑπολειπομένης, ἀλλ' ἐρημοι
συμμάχων γεγενημένοι, καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρ-
τηκότες, εἶχον αὐτοῖς μὴ μόνον τοὺς παρόντας κινδύνους διε-
φυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου
βασιλεὺς, ἡγούμενος εἶναι τὸ τῆς πόλεως προσλάβοι ναυτικὸν,
παραχρῆμα καὶ πελοποννήσου κρατήσειν, οὐχ ὑπεμένειν
τὰς παρεκείνου δωρεάς· οὐδὲ ὀργισθέντες τοῖς ἕλλησιν
ὅτι προυδόθησαν, ἀσμένως ἐπὶ τὰς διαλλαγὰς τὰς
πρὸς τοὺς βαρβάρους ὥρμησαν. ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευ-
θερίας πολεμεῖν παρεσκευάζοντο· τοῖς δ' ἄλλοις τὴν δου-
λείαν αἱρουμένοις, συνῳκόμην εἶχον· ἡγοῦντο γὰρ τοῖς μὴ
ταπεινοῖς τῶν πόλεων, προσήκειν ἐξ ἁπαντος τρόπου ζητεῖν
τὴν σωτηρίαν· τοῖς δὲ προεστάναι τῆς ἑλλάδος ἀξιοῦ-
σαις, οὐχ οἱόν τε εἶναι διαφεύγειν τοὺς κινδύνους· ἀλλ' ὥσ-
περ τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς ἀρετωτέρον ἐστὶ
καλῶς ἀποθανεῖν, ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς
ὑπερεχούσαις λυσιτελεῖν ἐξαυθρώπων ἀφανισθῆναι μᾶλ-
λον, ἢ δουλαῖς ὀφθῆναι γενομέναις. δῆλον δὲ ὅτι ταῦτα
διενοήθησαν· ἐπεὶ δὴ οὐχ οἱοί τ' ἦσαν πρὸς ἀμφοτέραις
ἅμα παρατάξασθαι ταῖς δυνάμεσι, παραλαβόντες ἅπαντα

τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως, ἃς τὴν ἔχομεν νῆσον ἐξέ-
πλευσαν· ἡμὲν μέρει πρὸς ἑκατέραν τὴν δύναμιν, ἀλλὰ μὴ
πρὸς ἀμφοτέρας ἅμα κινδυνεύσωσι· καίτοι πῶς ἂν ἐ-
κείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδεῖ-
χθεῖεν· οἵτινες ἐτόλμησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς
αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρημην μὲν τὴν πόλιν γιγνο-
μένην· τὴν δὲ χώραν πορθουμένην· ἱερὰ δὲ συλωμένα, καὶ
νεὼς ἐμπιπραμένους· ἅπαντα δὲ τὸν πόλεμον περὶ πα-
τρίδα τὴν ἑαυτῶν γιγνόμενον· καὶ οὐδὲ ταῦτα ἀπέχρη-
σεν αὐτοῖς· ἀλλὰ πρὸς χιλίαις καὶ διακοσίαις τριήρεσι,
μόνοι διαναυμαχεῖν ἐτόλμησαν· οὐ μὴν ἐάθησαν· κατεσ-
χημένοι γὰρ πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομί-
σαντες, προδιαφθαρέντων μὲν τῶν ἡμετέρων, οὐδ' αὐτοὶ
σωθήσεσθαι, κατορθωσάντων δὲ εἶς ἀτιμίαν τὰς αὐτῶν
πόλεις καταστήσειν, ἠναγκάσθησαν μετασχεῖν τῶν κιν-
δύνων· καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γε-
νομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοι-
νὰ πάντων εἶναι τῶν ναυμαχούντων, οὐχ ὁρῶ τί δεῖ λέγον-
τα διατρίβειν· ἃ δὲ ἔστιν ἴδια, καὶ τῆς ἡγεμονίας ἄξια,
καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δὲ μόνον ἔργον
εἰπεῖν ἔστι· τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτι τὴν ἀ-
κέραιον, ὥστε δὶς ἀήττατον γενομένη, πλείους μὲν συνεβα-
λετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς ἑλλάδος, ἢ
σύμπαντες οἱ ναυμαχήσαντες· οὐδεὶς δὲ πρὸς ἡμᾶς
οὕτω ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε, διὰ μὲν
τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι· ταύτης δὲ
τὴν ἡμετέραν πόλιν αἰτίαν γενέσθαι· καίτοι μελλούσης στρα-
τείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι, τίμας χρὴ τὴν ἡγεμονίαν
ἔχειν· οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστα δόκιμη-
σαντας, καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας,
ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας, οὐ
τοὺς τὴν ἑαυτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σω-
τηρίας, καὶ τότε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλε-
ων γενομένους, καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμ-
φορῶν διασώσαντας· πῶς δὲ οὐκ ἂν δικαίως πάθοιμεν·

εἰ τῶν κακῶν πλείστον μέρος μετασχόντες, ἐν ταῖς τιμαῖς
ἐλάττον ἔχῃν ἀξιωθείημεν· καὶ τότε προταχθέντες ὑπὲρ ἁ-
πάντων, νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθείημεν· μέχρι μὲν
οὖν τούτων, οἱ δ' ὅτι πάντες ἂν ὁμολογήσαιεν, πλάττων ἀ-
γαθῶν τὴν πόλιν ὑμῶν αἰτίαν γεγενῆσθαι· καὶ δικαίως ἂν
αὐτοῖς τὴν ἡγεμονίαν ἔναι· μετὰ δὲ ταῦτα ἃ δὴ τινες ἡμῶν
κατηγοροῦσιν, ὡς ἐπὶ δὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελά-
βομεν, πολλῶν κακῶν αἴτιοι τοῖς ἕλλησι κατέστημεν· καὶ τὸν
τε μηλίων ἀνδραποδισμόν, καὶ τῶν σκιωναίων ὄλεθρον· ἐν
τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν· ἐγὼ δ' ἡγοῦμαι πρῶ-
τον μὲν οὐδὲν ἔναι τοῦτο σημεῖον ὡς κακῶς ἤρχομεν· ἔτι τινὲς
τῶν πολεμησάντων ἡμῖν, σφόδρα φαίνονται κολασθέντες.
ἀλλὰ πολὺ τόδε μέγιστον τεκμήριον, ὡς καλῶς διωκοῦμεν
τὰ τῶν συμμάχων· ὅτι τῶν πόλεων τῶν ἐφ' ἡμῖν οὐσῶν, οὐ
δὲ μία τοιαύταις συμφοραῖς περιέπεσεν· ἐπεὶ τὰ εἰ μὲν ἄλ-
λοι τινὲς τῶν αὐτῶν πραγμάτων πρότερον ἐπεμελήθησαν,
ἐκότως ἂν ἡμῖν ἐπιτιμῶεν· εἰ δὲ μήποτε τοῦτο γέγονε· μὴ
θαυμάζετε· τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἢν μὴ τις
κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐ δίκαιον ἐστιν ἡμᾶς ἐπαι-
νεῖν· ὅτι ἐν ἐλαχίστοις χαλεπῆν ἁμαρτεῖν, πλάττον χρόνον τὴν ἀρ-
χὴν κατασχεῖν ἢ δυνήθημεν· οἶμαι δὲ πᾶσι δοκεῖν τούτους
κρατίστους προστάτας γεγενῆσθαι τῶν ἑλλήνων, ἐφ' ὧν οἱ πει-
θαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες· ἐπὶ τοίνυν τῆς
ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ τοὺς οἴκους, τοὺς ἰδίους
πρὸς εὐδαιμονίαν πλείστον ἐπιδόντας, καὶ τὰς πόλεις μεγί-
στας γενομένας· οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν·
οὐδὲ ταραχὰς ἐποιοῦμεν, πολιτείας ὑπεναντίας παρακαθι-
στάντες, ἢ μὲν ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δὲ ἀμφότε-
ροι θεραπεύοιεν· ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν· κοινὴν ὠφε-
λείαν νομίζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις
διωκοῦμεν συμμαχικῶς, ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι
περὶ αὐτῶν· ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ
δὲ ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι· καὶ τῶν μὲν πλήθει βοηθοῦντες·
ταῖς δυνάμεσι δὲ πολεμοῦντες· δεινὸν ἡγούμενοι τοὺς
πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι· καὶ τοὺς ταῖς οὐσίαις εὐδε-

ἑστέρους, τὰ δ' ἄλλα μηδὲν χείρους ὄντας, ἀπελαύνεσθαι
τῶν ἀρχῶν· ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης, τοὺς μὲν
τυραννεῖν· τοὺς δὲ μετοικεῖν· καὶ φύσει πολίτας ὄντας, νο-
μῳ τῆς πολιτείας ἀποστερεῖσθαι· τοιαῦτ' ἔχοντες ταῖς
ὀλιγαρχίαις ἐπιτιμᾶν, καὶ πλείω τούτων, τὴν αὐτὴν πολι-
τείαν ἣν περ παρήμεν αὐτοῖς, καὶ παρὰ τοῖς ἄλλοις κα-
τεστήσαμεν· ἣν οὐκ οἴδ' ὅτι δεῖ διὰ μακροτέρων ἐπαινεῖν· ἀλ-
λως τε καὶ συνόμοιον ἔχοντα δηλῶσαι περὶ αὐτῆς· μετὰ γὰρ
ταύτης οἰκοῦντες, ἑβδομήκοντα ἔτη διετελέσαμεν· ἀπέ-
φοι μὲν τυραννίδων· ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους· ἀ-
γασίαστοι δὲ πρὸς σφᾶς αὐτούς· ἐρήνην δὲ ἄγοντες πρὸς
ἅπαντας ἀνθρώπους· ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦν-
τας, μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον, ἢ τὰς κληρουχί-
ας ἡμῖν ὀνείδιζειν· ἃς ἡμεῖς ἔστε τὰς ἐρημουμένας τῶν πό-
λεων, φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλοῦ δὲ διὰ πλεονεξίαν
ἐξεπέμπομεν· σημεῖον δὲ τούτων· ἔχοντες γὰρ χώραν, πρὸς
μὲν τὸ πλῆθος τῶν πολιτῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην,
κεκτημένοι δὲ τριήρεις δι' πλασίας μέν, ἢ σύμπαντες οἱ
ἄλλοι, δυνάμενάς δὲ πρὸς δίστοσ' αὐτὰς κινδυνεύειν, ὑπο-
κείμενος δὲ τῆς βοιάσιν ὑπὸ τὴν ἀττικήν, ἢ καὶ πρὸς τὴν
ἀρχὴν τῆς θαλάττης ἐφυῶς ἦχε, καὶ πρὸς τὴν ἄλλην ἀ-
ρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον,
ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις ἔδοτε καὶ τῶν
ἄλλων ἑλλήνων· καὶ τῶν βαρβάρων τούτους καλλίστ' ἐδόκι-
μοῦντας, οἱ τοὺς ὁμόρους ἀναστάτους ποιήσαντες, ἀ-
φθονον καὶ ῥάθυμον αὐτοῖς κατεστήσαντο τὸν βίον, ὅμως οὐδὲν
τούτων ἡμᾶς ἐπήρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρ-
τεῖν· ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν ἐχόντων, περιέ-
δομεν ἡμᾶς αὐτοὺς ἀπορωτέρους ζῶντας, τῶν δουλεύειν αἰ-
τίαν ἐχόντων· καίτοι βουλόμενοι πλεονεκτεῖν· οὐκ ἂν δήπου
τῆς μὲν σκιωναίων νῆσον ἐπεθυμήσαμεν, ἢν πλαταιέων τοῖς
ὡς ἡμᾶς καταφυγοῦσι φανόμεθα παραδόντες· τοσαύτην
δὲ χώραν παρελίπομεν, ἢ πάντας ἂν ἡμᾶς ἐπορωτέρους
ἐποιήσε· τοιούτων τοίνυν ἡμῶν γεγενημένων καὶ τοσαύτην
πίστιν δεδωκότων, ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν,

δεκαδαρχῶν

τολμῶσι κατηγορῆν οἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες
καὶ τὰς ἑαυτῶν πατρίδας λυμηνάμενοι· καὶ μικρὰς μὲν
ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγεγενημένων ἀδικίας.
οὐδὲ μίαν δὲ ἀπολιτεύτους ὑπερβολὴν τοῖς αὐθις βουλομέ-
νοις γεγενῆσθαι προνηροῖς· ἀλλὰ φάσκοντες μὲν λακωνίζειν· τὰ
ναυτία δὲ ἐκείνοις ἐπιτηδεύοντες· καὶ τὰς μὴ μηλίων ὀδυρό-
μενοι συμφορὰς· περὶ δὲ τοὺς ἑαυτῶν πολίτας, ἀνήκεστα
τολμήσαντες ἐξαμαρτεῖν· ποῖον γὰρ αὐτοῖς ἀδίκημα διέφυ-
γεν· ἢ τί τῶν αἰσχρῶν καὶ δεινῶν οὐ διεξῆλθον· οἱ τοὺς μὲν ἀμυ-
τάτους πιστοτάτους ἐνόμιζον· τοὺς δὲ προδότας· ὡς περ
ἀνεργέτας ἐθεράπευον· ἠτοῦντο δὲ τῶν εἰλώτων ἐνίοις δου-
λεύειν, ὥστε θεῖν τὰς ἑαυτῶν πατρίδας ὑβρίζειν· μᾶλλον δὲ ἐτι-
μῶν τοὺς αὐτόχειρας καὶ φονέας τῶν πολιτῶν, ἢ τοὺς γονέας τοὺς
ἑαυτῶν· θεῖν τοῦτο δὲ ὁμοτίμους ἅπαντας ἡμᾶς κατέστησαν.
ὥστε πρὸ τοῦ μὲν διὰ τὴν παροῦσαν ἀδαιμονίαν, καὶ ταῖς μι-
κραῖς ἀτυχίαις, πολλοὺς ἕκαστος ἡμῶν ἔχε τοὺς συμπα-
θήσοντας· ἐπὶ δὲ τῆς τούτων ἀρχῆς διὰ τὸ πλῆθος τῶν οἰκείων
κακῶν, ἐπαυσάμεθα ἀλλήλους ἐλεοῦντες· οὐδενὶ γὰρ τοσαύ-
την σχολὴν παρέλιπον, ὥστε ἑτέρῳ συμπαθεῖν· τίνος
γὰρ οὐκ ἐφικοντο· ἢ τίς οὕτω τοσοῦτον πόρρω τῶν πολιτικῶν
ἦν πραγμάτων, ὅστις οὐκ εὖ γε ἡμᾶς κακῶν ἀπηλλάχθαι γενέσθαι τῶν
συμφορῶν, ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν· εἶτα
οὐκ αἰσχυνόμεθα τὰς μὲν ἑαυτῶν πόλεις, οὕτως ἀνομῶς διε-
θέντες, τῆς δ' ἡμετέρας ἀδίκως κατηγοροῦντες, ἀλλὰ πρὸς
τοῖς ἄλλοις, καὶ τῶν δικῶν καὶ τῶν γραφῶν τῶν τοτὲ παρὰ μὴν
γενομένων λέγειν τολμῶσιν· αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀπο-
κτείναντες, ὧν ἡ πόλις ἐστὶ τῆς ἀρχῆς ἁπάσης
ἔκριμε· φυγὰς δὲ καὶ γάσεις καὶ νόμων συγχύσεις, καὶ πολιτεί-
ων μεταβολάς, ἔτι δὲ παίδων ὕβρεις· καὶ γυναικῶν αἰσχύνας,
καὶ χρημάτων ἁρπαγάς, τίς ἂν δύναιτο διεξελθεῖν· πλὴν τό-
σοῦτον εἰπεῖν ἔχω κατὰ πάντων· ὅτι τὰ μὲν ἐφ' ἡμῶν δεινὰ
ῥαδίως ἄν τις ἐν ψηφίσματι διέλυσε· τὰς δὲ σφαγὰς καὶ
τὰς ἀνομίας τὰς ἐπὶ τούτων γενομένας, οὐδεὶς ἂν ἰάσασθαι
δύναιτο· καὶ μὴν οὐδὲ τὴν παροῦσαν ἀρχήν, οὐδὲ τὴν αὐτο-
νομίαν τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ οὖσαν, ἐν δὲ ταῖς

ἀνωτέρω

ll πολ· puto deesse

συνθήκαις ἀναγεγραμμένην· ἄξιον ἐλέσθαι μᾶλλον, ἢ τὴν ἀρχὴν
τὴν ἡμετέραν· τίς γὰρ οὕτω τοιαύτης καταφρόνησιν ἐπιθυμεῖ
σφεῖν ἢ κατὰ πολιτείαν μὲν τὴν θάλατταν κατέχουσιν· πελτα-
ταὶ δὲ τὰς πόλεις καταλαμβάνουσιν· ἀντὶ δὲ τοῦ πρὸς ἑτέ-
ρους περὶ τῆς χώρας πολεμεῖν, ἐν τοῖς τείχεσι πρὸς ἀλλήλους
οἱ πολῖται μάχονται· πλείους δὲ πόλεις αἰχμάλωτοι γε-
νόμενοι, ἢ πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι· διὰ δὲ τὴν
πυκνότητα τῶν μεταβολῶν, ἀθυμότερον διάγουσιν οἱ τὰς πό-
λεις οἰκοῦντες, τῶν ταῖς φυγαῖς ἐζημιωμένων· οἱ μὲν γὰρ τὸ
μέλλον δεδίασιν· οἱ δὲ ἐαθ καὶ τὸν εἶναι προσδοκῶσι· τοσοῦτον
ἀπέχουσι τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας, ὥστε αἱ μὲν
ὑπὸ τυράννοις εἰσί· τὰς δὲ ἁρμοστὰς κατέχουσιν· ἔνιαι δὲ ἀνά-
στατοι γεγόνασι· τῶν δὲ οἰκιστῶν βαρβαροι δεσπόται καθεστήκασιν·
οὐδὲ ἡμεῖς διαβῆναι τολμήσαντες ἐστὶν τὴν ἀρρώστειαν καὶ μεῖ-
ζον, ἢ προσῆκον αὐτοῖς φρονήσαντες, οὕτω διεθέμεν, ὥστε μὴ
μόνον παύσασθαι ἀστρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ
καὶ τὴν αὐτῶν χώραν ἀμέχεσθαι πορθουμένην· καὶ διακοσί-
αις καὶ χιλίαις ναυσὶ περιπλέοντας, ἐστὶ τοσαύτην ἀπειρο-
τήτα κατεστήσαμεν, ὥστε μακρὸν πλοῖον ἐντὸς φασὶν ἡλίου
μὴ καθέλκειν· ἀλλὰ νῦν ἡσυχίαν ἄγειν· καὶ τοὺς καιροὺς περιμένειν,
ἀλλὰ μὴ τῇ παρούσῃ δυνάμει πιστεύειν· καὶ ταῦθ' ὅτι διὰ
τὴν τῶν προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως ἔχομεν, αὐ-
τῆς πόλεως συμφορὰ σαφῶς ἐπεδείξαν· ἅμα γὰρ ἡμεῖς
τε τῆς ἀρχῆς ἀπεστερούμεθα, καὶ τοῖς ἕλλησιν ἀρχὴ τῶν κα-
κῶν ἐγίγνετο· μετὰ γὰρ τὴν ἐν ἑλλησσόν τῶν γενομένην ἀτυχίαν,
ἑτέρων ἡγεμόνων καταστάντων, ἐνίκησαν μὲν οἱ βάρβαροι ναυ-
μαχοῦντες· ἦρξαν δὲ τῆς θαλάττης· κατέσχον δὲ τὰς πλεί-
στας τῶν νήσων· ἀπέβησαν δὲ ἐστὶν τὴν λακωνικήν· κύθηρα δὲ
κατὰ κράτος εἷλον· ἅπασαν δὲ τὴν πελοπόννησον κακῶς
ποιοῦντες περιέπλευσαν· μάλιστα δὲ ἅπτις συνοίδοι τὸ μέ-
γεθος τῆς μεταβολῆς, ἥπερ ἀναγνοίη τὰς συνθήκας, τάς τε
ἐφ' ἡμῶν γενομένας, καὶ τὰς νῦν ἀναγεγραμμένας· τότε
μὲν γὰρ ἡμεῖς φαμὲν ὁμεθα τὴν ἀρχὴν τὴν βασιλέως ὁρίζον-
τες· καὶ τῶν φόρων ἐνίους τάττοντες· καὶ κωλύοντες αὐ-
τόν, τῇ θαλάσσῃ χρῆσθαι· νῦν δὲ ἑκάνοσε ἐστὶν ὁ διοικῶν τὰ τῶν

ἑλλήνων, καὶ προστάττων ἃ χρὴ ποιεῖν ἑκάστους· καὶ μόνον
οὐκ ἐπιστάθμους ἐν ταῖς πόλεσι καθιστάς· πλὴν γὰρ τού-
του, τί τῶν ἄλλων ὑπόλοιπον ἐστιν· οὐ καὶ τοῦ πολέμου κύ
ριος ἐγένετο, καὶ τὴν χώραν ἐπρυτάνευσε, καὶ τῶν παρόντων
πραγμάτων ἐπιστάτης καθεστήκειν· οὐχ ὡς ἐκείνοις πλέομεν,
ὥσπερ πρὸς ἀλλήλους καταγορεύομεν, ὥσπερ ἀλλοτριο-
λεία τὸν μέγαν αὐτὸν προσαγορεύομεν, ὥσπερ ἀλλοτρίω-
τοι γεγονότες· οὐκ ἐν τοῖς πολεμίοις τῆς πρὸς ἀλλήλους
ἐν ἐκείνῳ τάς ἐλπίδας ἔχομεν τῆς σωτηρίας· οὓς ἀμφο-
τέρους ἡμᾶς ἡδέως ἂν ἀπολέσαιεν· ὧν ἄξιον ἐνθυμηθέντας,
ἀγανακτῆσαι μὲν ἐπὶ τοῖς παροῦσι· ποθῆσαι δὲ τὴν ἡγε-
μονίαν τὴν ἡμετέραν· μεμψασθαι δὲ λακεδαιμονίοις, ὅτι
τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον καταστήσαιμεν, ὡς ἐλευθεροῦν-
τες τοὺς ἑλληνας· ἐπὶ τελευτῆς δ' οὕτω πολλοὺς αὐτῶν ἐκ
δοῦναι τοῖς βαρβάροις ἐποίησαν· καὶ τῆς μὲν ἡμετέρας
πόλεως τοὺς ἴωνας ἀπέστησαν ἐξ ἧς ἀπῴκησαν· καὶ δι' ἣν
πολλάκις ἐσώθησαν· τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν·
ὧν ἀκόντων τὴν χώραν ἔχουσι· καὶ πρὸς οὓς, οὐδὲ πώποτε
ἐπαύσαντο πολεμοῦντες· καὶ τότε μὲν ἡγανάκτουν ὅθ' ἡ-
μεῖς μιμούμενοι ἐπάρχειν τιμῶν ἠξιοῦμεν· νῦν δὲ ἐφ' τοσαύ-
την δουλείαν καθεστῶτων, οὐδὲν φροντίζουσιν αὐτῶν· οἷς
οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ
τῶν ἐχθρῶν κατεχομένας· ἀλλὰ πρὸς ταῖς κοιναῖς συμ-
φοραῖς, καὶ τοῖς σώμασι δεῖν ὁτέρα πάσχουσι τῶν παρὰ
μῖν ἀγυρτῶν· οὐδ' ἐφ' γὰρ ἡμῶν οὕτως αἰκίζεται τοὺς
οἰκέτας, ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσι· μέγιστον δὲ
τῶν κακῶν· ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας ἀναγκάζωνται
συστρατεύεσθαι· καὶ πολεμεῖν τοῖς ἐλευθεροῦν ἀξιοῦσι· καὶ
τοιούτους κινδύνους ὑπομένειν, ἐν οἷς ἡττηθέντες μὲν πα-
ραχρῆμα διαφθαρήσονται· κατορθώσαντες δὲ ἐμάλλον εἰς
τὸν ἐπίλοιπον χρόνον δουλεύσουσιν· ὧν τίνας ἄλλους αἰτίους
χρὴ νομίζειν, ἢ λακεδαιμονίους· οἳ τοσαύτην ἰσχὺν ἔχοντες
περιορῶσι, τοὺς μὲν ἑαυτῶν συμμάχους γενομένους οὕτω
δεινὰ πάσχοντας· τὸν δὲ βάρβαρον τὴν τῶν ἑλλήνων ῥοῦν
τὴν ἀρχὴν τὴν αὐτοῦ κατασκευάζομενον· καὶ πρότερον μὲν

τοὺς τυράννους ἐξέβαλον· τῶν δὲ πληθείας βοηθείας ἐποι
οῦντο· νῦν δὲ εἰς τοσοῦτον μεταβεβλήκασιν, ὥστε τοῖς μὲν
πολιτείαις πολεμοῦσι· τὰς δὲ μοναρχίας συγκαθιστᾶ
σι· τὴν δὲ μαντινέων πόλιν, ἐφ' ἣν ἡσυχίαν ἡ δὴ γεγενημένην, ἀνά
στατον ἐποίησαν· καὶ τὴν θηβαίων καδμείαν κατέλαβον· καὶ
νῦν ὀλιγωθείσις καὶ φλιασίοις πολεμοῦσιν· ἀμύντα δὲ τῶ
μακεδόνων βασιλεῖ, καὶ διονυσίῳ τῶ σικελίας τυράννῳ·
καὶ τῶ βαρβάρῳ τῆς ἀσίας κρατοῦντι συμπράττουσιν,
ὅπως μεγίστην ἀρχὴν ἔξουσιν· καίτοι πῶς οὐκ ἀτοπον τοὺς
προεστῶτας τῶν ἑλλήνων, ἑνὰ μὲν ἄνδρα τοσούτων ἀνθρώ
πων καθιστάναι δεσπότην, ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴ
διόν ἐστι· τὰς δὲ μεγίστας τῶν πόλεων, μὴ δεῖν αὐτὰς ἐκ
τῶν ἐαυτῶν εἶναι κυρίας· ἀλλὰ ἀναγκάζειν δουλεύειν· ἢ ταῖς μεγί-
ταις συμφοραῖς περιβάλλειν· ὁ δὲ πάντων δεινότατον·
ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἐχειν ἀξιοῦντας, ἐπὶ μὲν
τοὺς ἑλληνας, μονονοὺχὶ καθ' ἑκάστην ἡμέραν στρατευομένους·
πρὸς δὲ τοὺς βαρβάρους ἐν ἅπαντα τὸν χρόνον συμ-
μαχίαν πεποιημένους· καὶ μηδὲν ὑπολαβεῖν δυσκόλως
ἔχειν, ὅτι τραχύτερον τούτων ἐμνήσθην· προσήκει γὰρ περὶ
διαλλαγῶν ποιήσεσθαι τοὺς λόγους· οὐ γὰρ ἵνα πρὸς τοὺς
ἄλλους διαβάλω τὴν πόλιν τὴν λακεδαιμονίων, οὕτως εἰ-
ρηκα περὶ αὐτῶν· ἀλλ' ἵνα αὐτοὺς ἐκείνους παύσω καθ' ὅσον
ὁ λόγος δύναται, τοιαύτην γνώμην ἔχοντας· ἔστι δ' οὐχ οἷόν τε
ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐ δι' ἑτέρων πράξεων
πειθεῖν ἐπιθυμεῖν, ἢν μὴ τὶς ἐρρωμένως ἐπιτιμήσῃ τοῖς ἁ-
μαρτάνουσι· χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπιβλα
βεῖς· δεδοικότας· μουθετεῖν δὲ τοὺς ἐπωφελεῖα τοιαῦτα
πράττοντας· τὸν γὰρ αὐτὸν λόγον, οὐχ ὁμοίως ὑπολαμ-
βάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διαθέσεως λεγόμενον· ἐπεὶ
καὶ τοῦτ' ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῆ μὲν αὐτῶν πολλοὺς
τοὺς ὁμόρους ἐλευθεροῦν ἀναγκάζουσι· τῶν δὲ ἑκουσίων τῶν συμ
μάχων οὐδὲν τοιοῦτον κατασκευάζουσιν· ἐξ ὧν ἔσται αὐτοῖς
τὰ πρὸς ἡμᾶς διαλυσαμένοις· ἀπαντᾶν τοὺς βαρβά-
ρους περιοίκους ὅλης τῆς ἑλλάδος καταστῆσαι· καίτοι χρὴ

περιοίκους. habita
tores propinquos
hesychius περιοίκι
ὁ περὶ τὴν πόλιν ἢ
τὴν χώραν τόπος

τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας, τοιούτοις
ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον, ἢ τοὺς μισοῦντας δασ-
μολογεῖν· οὐ σὺν ἀξίωμα ἔστιν ἐλεεῖν· ὁρῶντας τοὺς μὲν διὰ ἀσα-
μοτήτα τῆς γῆς, τὰ ὄρη γεωργεῖν ἀναγκαζομένους· τοὺς
δὲ ἢ πεῖρώτας διὰ φθονίαν χώρας, τὴν μὲν πλείστην αὐ-
τῆς ἀργὸν περιορῶντας· ἐξ ἧς δὲ καρπούνται, τοσοῦτον
πλοῦτον κεκτημένους· ἡγοῦμαι δ' ἔτι μὲν ἀλλοθέν ποθεν ἐ-
πελθόντες θεαταὶ γενοίατο τῶν παρόντων πραγμάτων, πολ-
λὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν· οἵτι-
νες οὕτω περὶ μικρῶν κινδυνευόμεν, ἐξὸν ἀδεῶς πολλὰ κε-
κτῆσθαι· καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν· ἀμε-
λήσαντες τοῦ τὴν οἰκίαν καρποῦσθαι· καὶ τῷ μὲν οὐδὲν
ἔστι προυργιαίτερον, ἢ σκοπεῖν, ἐξ ὧν οὐδέποτε παυσόμε-
θα πολεμοῦντες πρὸς ἀλλήλους, ἡμεῖς δὲ τοσούτου δέ-
ομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων, ἢ ποιεῖν φασιά-
ζειν, ὥστε καὶ τὰς διὰ τύχας αὐτῷ γεγενημένας παρα-
χάς, διαλύειν ἐπιχειροῦμεν· οἵτινες καὶ τοῖν φρατοπέδοιν
τοῖν περὶ κύπρον, εἰώμεν αὐτόν, τῷ μὲν χρῆσθαι· τὸ δὲ πο-
λιορκεῖν ἀμφοτέροιν αὐτοῖν ἐκ τῆς ἑλλάδος οὐτοῖν· οἵτε γὰρ
ἀφεστῶτες πρὸς ἡμᾶς τε οἰκεῖν ἔχουσι, καὶ λακεδαιμο-
νίοις σφᾶς αὐτοὺς ἐνδιδόασι· τῶν τε μετὰ τριβάζου φρα-
τευομένων, καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον, ἐκ τῶν δε τῶν
τόπων ἠθροίσθαι· καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον μέρος ἀπὸ τῶν
μίας συμπεπλευκέν· οἱ πολὺ ἂν ἥδιον κοινῇ τὴν οἰκίαν ἐπορ-
θοῦν, ἢ πρὸς ἀλλήλους ἕνεκα μικρῶν ἐκινδυνευόν· ὧν ἡμεῖς
οὐδεμίαν ποιούμεθα προνοίαν· ἀλλὰ περὶ μὲν τῶν κυκλά-
δων νήσων ἀμφισβητοῦμεν· τοσαύτας δὲ τὸ πλῆθος τρι-
ήρεις καὶ τηλικαύτας τὸ μέγεθος δυνάμεις, οὕτως ἐκκε-
κῶ βαρβάρω παραδεδώκαμεν· τοιγαροῦν τὰ μὴ ἔχει· τὰ
δὲ μέλλοντα· τοῖς δ' ἐπιβουλεύσι, δικαίως ἁπάντων ἡμῶν
καταπεφρονηκόσι· διαπέπρακται γάρ, ὁ τῶν ἐκείνου τρόπο-
νων οὐδεὶς πώποτε· τὴν τε γὰρ οἰκίαν δι' ὧν ὁμολόγηται, καὶ
παρ' ἡμῶν καὶ παρὰ λακεδαιμονίων βασιλέως εἶναι· τοσοῦτε
πόλεις τὰς ἑλληνίδας οὕτω κυρίως παρέλήφεν, ὥστε

δασμολογεῖν

προυργιαίτερον

συγκρούειν

Tribazus

∴ fatetur se eam asiam quæ p̄ prie sic uocetur esse nr̄is mu neris & muneris lacedæmo niorum .q. mihtibus nostris eam cepisse

τὰς μὲν αὐτῶν κατασκάπτειν· ἐν δὲ ταῖς ἀκροπόλεσι τεί-
χίζειν· καὶ ταῦτα πάντα γέγονε, διὰ τὴν ἡμετέραν ἀμοιαν, ἀλ-
λ' οὐ διὰ τὴν ἐκείνου δύναμιν· καίτοι τιν' ἐσθαυμάζουσι τὸ μέ-
γεθος τῶν βασιλέως πραγμάτων· καὶ φασὶν αὐτὸν εἶναι
δυσπολέμητον, διεξιόντες ὡς πολλὰς τὰς μεταβολὰς
ἐν τοῖς ἑλλησι πεποίηται· ἐγὼ δ' ἡγοῦμαι μὲν ταῦτα τοὺς
λέγοντας, οὐκ ἀποτρέπειν, ἀλλ' ἐπιστεύειν τὴν γραταιάν· εἶ
γὰρ ἡμῶν ὁμοιονησάντων ἀπάντων, αὐτὸς ἐν ταραλαῖς ὢν
χαλεπὸς ἔσται πρὸς τὸ πολεμεῖν· ἢ που σφόδρα χρὴ δεδιέ-
ναι τὸν καιρὸν ἐκείνου, ὅταν τὰ μὲν τῶν βαρβάρων καταστῇ, καὶ
διὰ μιᾶς γένηται γνώμης· ἡμεῖς δὲ πρὸς ἀλλήλους ὡς
περ νῦν πολεμικῶς ἔχωμεν· οὐ μὴν οὐδ' ἐστὶν ἀγορεύουσι
τοῖς ὑπὲρ οὐ λεγομένοις, οὐδ' ὡς ὀρθῶς περὶ τῆς ἐκείνου
δυνάμεως γινώσκουσιν· εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα
ταῖν πολέοιν ἀμφοτέραιν, πρότερόν ποτε περιγεγενημένον, εἰ-
κότως ἂν ἡμᾶς καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν· εἰ δὲ τοῦτο μὲν
μηδέποτε γέγονεν, ἀνθιπάλων δὲ οὐδὲν ἡμῶν, καὶ λακεδαι-
μονίων, προσθέμενος τοῖς ἑτέροις, ἐπικυδέστερα τὰ πράγ-
ματα τούτων ἐποίησεν, οὐδὲν ἔστι τοῦτο σημεῖον τῆς ἐκείνου
ῥώμης· ἐν γὰρ τοῖς τοιούτοις καιροῖς, πολλάκις μικραὶ δυ-
νάμεις μεγάλας ροπὰς ἐποίησαν· ἐπεὶ καὶ περὶ χίων ἐ-
χοιμ' ἂν τοῦτον τὸν λόγον εἰπεῖν· ὡς ὁ πόλεροις ἐκείνοι προσθέ-
σθαι βουληθεῖεν, οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν· ἀλ-
λὰ γὰρ οὐκ ἐκ τούτων δίκαιον ἔστι σκοπεῖν τὴν βασιλέως
δύναμιν, ἐξ ὧν μεθ' ἑκατέρων γέγονεν· ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ
ἑαυτοῦ πεπολέμηκεν· καὶ πρῶτον μὲν ἀποστάσης αἰγύπτου,
τί δι' ἀπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν· οὐκ ἐκείνος
μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε τοὺς δ' ὀκτι-
μωτάτους τῶν ἀρσένων, ἀκροκόμαν καὶ τιθραύστην, καὶ φαρνα-
βάζον· οὗτοι δὲ τρία ἔτη μάχαντες, καὶ πλείω κακὰ παθόν-
τες, ἢ ποιήσαντες, τελευτῶντες οὕτως αἰσχρῶς ἀπηλ-
λάγησαν, ὥστε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀ-
γαπᾶν· ἀλλ' ἤδη καὶ τῶν ὁμόρων ζητεῖν ἐπάρχειν· μετὰ δὲ
ταῦτα ἐπὶ κύπρον στρατεύσας, ὃν ἀρχὴν μὲν μιᾶς πόλε-
ως τῶν ἐν κύπρῳ, ἐν δὲ ταῖς συνθήκαις ἐκδοτος ἔστιν, οἰκῶν δὲ

1. & si fateantur uera esse ea quæ dico illos dicere de potentia

Chiorú uires

Acrocomas
Tithraustes
Pharnabazus

Cuprorum

ἔκδοτος. traditus
προδεδομένος
ἀποδεδομένος

τὴν μῆσον, κατὰ μὲν θάλασσαν προδεδυστύχηκεν· ὑπὲρ δὲ
τῆς χώρας, τρισχιλίους ἑξήκοντα πελταστάς· ἀλλ' ὅμως οὐ
τῶν τῆς δυνάμεως· οὐ δύναται περιγενέσθαι βασιλεὺς
πολεμῶν· ἀλλ' ἤδη μὲν ἑξέτη διατέτριφεν· ἐν δὲ τῷ μέλλον
τι τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλέον ἐλπὶς ἐστὶν ἑτέ
ρον ἀποστῆναι, πρὶν ἐκείνον ἐκπολιορκηθῆναι, τοιαῦται βραδυτῆ
τες ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἐνίστασιν· ἐν δὲ τῷ πολέμῳ τῷ
περὶ Ῥόδον, ἔχων μὲν τοὺς λακεδαιμονίους συμμάχους, ἄνους,
διὰ τὴν χαλεπότητα τῶν πολιτῶν, χρώμενος δὲ ταῖς ὑπηρεσί
αις ταῖς παρ' ἡμῶν, στρατηγοῦντος δὲ αὐτῷ Κίμωνος, ὃς καὶ ἐπιμελέ
στατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς ἕλλησιν ἐμπρόσθεν
τος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγω
νιστὴν, τρία μὲν ἔτη περιῆν τὸ ναυτικὸν τὸ περὶ τὴν Ἀσίαν ὑ
πὸ τριήρων ἑκατὸν μόνον πολιορκούμενον· πέμπτον καὶ δέκατον δὲ
μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν· ὥστε
τὸ μὲν ἐπ' ἐκείνῳ, πολλάκις ἂν διελύθησαν· διὰ δὲ τὸν ἐφε
στῶτα κίνδυνον καὶ τὴν συμμαχίαν τὴν περὶ Κόριν θοῦ σω
σάσαν, μόλις ποτὲ ναυμαχοῦντες ἐνίκησαν· καὶ ταῦτ' περὶ τὰ
βασιλικὰ τὰ καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων·
καὶ περὶ ὧν οὐδὲ ποτ' ἐπαύοντο λέγοντες, οἱ βουλόμενοι τὰ
τῶν βαρβάρων μεγάλα ποιεῖν· ὥστ' οὐδ' ὡς ἀνέχοι τοῦτ' εἰ
πεῖν· ὥσ' οὐδικαίοις χρῶμαι τοῖς παραδείγμασιν· οὐδ' ὥσ
περ μικροῖς διατρίβω, τὰς μεγίστας τῶν πράξεων παραλι
πών· φεύγων γὰρ ταύτην τὴν αἰτίαν, τὰ κάλλιστα τῶν ἔργων δι
ῆλθον· οὐκ ἀμνημονῶν οὐδ' ἐκείνων, ὅτι δ' ἐρκυλλίδας μὲν χι
λίους ἔχων ὁπλίτας τῆς αἰολίδος ἐπῆρξε· δράκων δ' ἐν ἀταρ
νεῖ καταλαβών, καὶ τρισχιλίους πελταστὰς συλλέξας, τὸ μυ
σιον πεδίον ἀνάστατον ἐποίησε· θίβρων δ' ὀλίγῳ πλείους τοῦ
τῶν διαβιβάσας, τὴν λυδίαν πᾶσαν ἐπόρθησεν· ἀγησίλαος
δ' τῶν κύρου στρατοπέδῳ χρώμενος, μικροῦ δεῖν τῆς ἐν τῷ ἁλυ
ος χώρας ἁπάσης ἐκράτησε· καὶ οὐδ' τὴν στρατιὰν τὴν μετὰ
βασιλέως περιπολοῦσαν, οὐδ' τὴν περσῶν ἀνδρίαν ἀξίαν
φοβηθῆναι· καὶ γὰρ ἐκείνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ τῶν κύ
ρου σωσταβάντων, οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ θαλάττης.
τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἥττήθησαν ἐῶ· καὶ τίθημι·

Cimon

Atarneus

Dercyllidas
Draco
Mysius car? ~~Atarneus~~
Thibro
Agesilaus

Atarnea oppidú ÷ aeoli dis teste plino. l. 5 cap. 30.

φασιάζειν αὐτοὺς, καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελ
φὸν τοῦ βασιλέως διακινδυνεύειν· ἀλλ' ἐπειδὴ κύρου τελευτή
σαντος, σωνῆλθον ἅπαντες οἱ τὴν ἀσίαν κατοικοῦντες, ἐν τού
τοις τοῖς καιροῖς, οὕτως αὐσχρῶς ἐπολέμησαν, ὥστε μηδὲ μία
λόγον ὑπολείπειν τοῖς ἤθεσι μεμενοῖσι τὴν τῶν περσῶν ἀνδρίαν
ἐπαινεῖν· λαβόντες γὰρ ἑξακισχιλίους τῶν ἑλλήνων, οὐκ ἀρ-
γίνδην μὲν ἐπιλελεγμένους, ἀλλ' οἱ διὰ φαυλότητα ἐν ταῖς
ἑαυτῶν πόλεσιν οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώ
ρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προ-
διδομένους δὲ ὑπὸ τῶν σωναναβάντων, ἀπεστερημένους
δὲ τοῦ στρατηγοῦ μεθ' οὗ σωνηκολούθησαν, τοσοῦτον ἥττους
αὐτῶν ἦσαν, ὥσθ' ὃ βασιλεὺς ἀπορήσας τοῖς παροῦσι
πράγμασι, καὶ καταφρονήσας τῆς περὶ αὐτὸν δυνάμεως,
τοὺς ἄρχοντας τοὺς τῶν ἑλλήνων, ὑποσπονδοῦσι συλλα
βεῖν ἐτόλμησεν· ὥσ' ἐν τούτῳ παραμονήσε, σωταράξων
τὸ στρατόπεδον· καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρ
τεῖν, ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι· δια-
μαρτὼν δὲ τῆς ἐπιβουλῆς, καὶ τῶν στρατιωτῶν συμ-
μείναντων, καὶ καλῶς ἐνεγκάντων τὴν συμφοράν, ἀπι-
οῦσιν αὐτοῖς τὴν ἀφέρειαν καὶ τοὺς ἵππεας σωνεπέμψεν· ὑ
φῶν ἐκείνοι παρὰ πᾶσαν ἐπιβουλεύοντες τὴν ὁδόν, ὁμοί-
ως διεπορεύθησαν, ὥσπερ ἀνδρὶ προπεμπόμενοι· μάλι-
στα μὲν φοβούμενοι τὴν ἀοίκητον τῆς χώρας· μεγίστου δὲ τῶν
ἀγαθῶν νομίζοντες, ἐν τῶν πολεμίων ὡς πλείστοις ἐν
τύχοι· κεφάλαιον δὲ τῶν ἐρημένων· ἐκείνοι γὰρ οὐκ ἐπιμε-
λείας ἐλθόντες, οὐδὲ κόμην καταλαβόντες, ἀλλὰ πάντα τὸν
τὸν βασιλέα στρατεύσαντες, ἀσφαλέστερον κατέβησαν
τῶν περὶ φιλίας αὐτῶν πρεσβευόντων· ὥστε μοι δοκοῦ-
σιν ἐν ἅπασι τοῖς τόποις, σαφῶς ἐπιδεδεῖχθαι τὴν αὐτῶν
μαλακίαν· καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς ἀσίας, πολλὰς μά
χας ἥττηνται· καὶ διαβάντες εἰς τὴν ἠρώπην δίκην ἔδοσαν· οἱ
μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο· οἱ δ' εἰς χρῶς ἐσώθησαν· καὶ
τελευτῶντες ἐπαύοντο τοῖς βασιλείοις, καταγέλαστοι γεγόνα
σι· καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν· ἀλλὰ πάντα εἰκότως
ἀποβέβηκεν· οὐδὲ γὰρ οἷόν τε τοὺς οὕτω τρεφομένους, καὶ

Cyrimoxis

ἀρχίνδην

ὑπωτεραγνά

προπέμπομαι
i. mittit cum comitatu

μηδία

μαλακία

// ms. αὐτοῦ

ms. μὲν λάθαν vel ἐς ποιμένων λάθαν, vel ποιμένων λάθαν

ἀπ. ἀμφνον

πολιτευομένους· οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν, οὔτε ἐν ταῖς
μάχαις τρόπαιον ἵσταθαι τῶν πολεμίων· πῶς γὰρ ἂν
ἐγὼ δὲ ὡς ἂν δύνωμαι σιωπῶν τὰ πειρᾶσομαι περὶ ἀμφοτέρων τούτων διελθὼν πρὸς ὑμᾶς. οἱ γὰρ κατέκαμνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες, κατεστήσαντο πολιτείαν, οὐκ ὀνόματι μὲν τῶν κοινῶν τῶν καὶ πρᾶττόντων προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐν τυγχάνουσι φαινομένην. οὐδὲ τὸν τρόπον τοῦτον ἐπαίδευον τοὺς πολίτας, ὥστε ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν. τὴν δὲ παρανομίαν, ἐλευθερίαν. τὴν δὲ παρρησίαν, ἰσονομίαν. τὴν δὲ ἐξουσίαν τοῦ τὰ τοιαῦτα ποιεῖν, εὐδαιμονίαν. ἀλλὰ καὶ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους, βελτίους μὲν καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησε. μέγιστον δὲ αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτίμοιν μομιζομένην εἶναι, καὶ τῆς μὲν ταύτην ἁπάσιν ἀπονεμούσης, τῆς δὲ πρὸς τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τούτων τὴν χρησιμωτέραν. ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν, τοὺς χρηστοὺς καὶ προνοητοὺς ἀπεδοκίμαζον ὡς οὐ δικαίαν οὖσαν. τὴν δὲ κατάξιαν ἑκάστου τιμῶσαν καὶ κολάζουσαν προνοητοὺς καὶ διὰ ταύτης ὤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίους, καὶ τοὺς ἱκανωτάτους. ἑφ' ἑκάστῳ τῶν ἔργων προκρίναντες. τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους οἱοιπερ ἂν ὦσιν, οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον ταύτην εἶναι τὴν κατάστασιν, τῆς διὰ τοῦ λαγχάνειν γινομένης. ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύειν. καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς, τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας. ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους, τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν, αἴτιον δὲ τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν καὶ μὴ περιμάχητους εἶναι τὰς ἀρχὰς, ὅτι μεμελετηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν. μὴ δὲ ἐκ τῶν δημοσίων τὰ σφέτερα αὐτῶν διοικεῖν. ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δέοι καὶ τοῖς κοινοῖς ἐπαρκεῖν. μὴ δ' ἀκριβέστερον εἶναι τὰς ἐκ τῶν ἀρ-

τοῖς ἐντυγχάνουσι

συνεβάλετο δυοῖν ἰσοτίμοιν & πῶ δυῶν.

Σημῶσαι

ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύειν

χείων πρὸς ὁδοὺς, ἢ τὰς ἐκ τῶν ἰδίων γιγνομένας αὐτοῖς. οὕτω δὲ ἀπεῖχον τῶν τῆς πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἑκάστοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν ἢ νῦν τοὺς μηδὲν δεομένους. οὐ γὰρ ἐν πορίᾳ, ἀλλὰ λειτουργίαν ἐν ὁμίζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν. οὐδὲ ἀπὸ τῆς πρώτης ἡμέρας ἐς κόπους ἔτι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες. ἀλλὰ πολὺ μᾶλλον, ἔτι πόνος πραγματος κατὰ μέλη κάσι, τῶν τέλος ἔλαβον κατεπτονόμτων. ὡς δὲ σιωπῶμεν ἔτι, ἑκάστοι διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι τὰς ἀρχὰς, καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας. καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμένων. τοὺς δὲ σχολὴν ἄγειν δυναμένους καὶ βίον ἱκανὸν κεκτημένους, ἐπιμελεῖσθαι τῶν κοινῶν, ὥσπερ οἱ κεκτημένοι. καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι καὶ τέρπειν ταύτῃ τῇ τιμῇ. κακῶς δὲ διοικήσαντας, μὴ δεμιᾶς συμφορᾶς τυγχάνειν. ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. καίτοι πῶς ἄν τις ταύτης βεβαιοτέραν ἢ δικαιοτέραν δημοκρατίαν εὕροι, τῆς τοὺς μὲν δυναστεύοντας ἐπὶ τὰς πράξεις καθιστάσης. αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης. τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς. ῥᾴδιον δὲ ἐκ τούτων καταμανθάνειν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ μεμιμημένως πράττοντες διετέλεσαν. ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις ποιεῖσθαι, καὶ κατὰ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἑκάστοις. καὶ περὶ ὧν μὲν τὰ περὶ τοὺς θεοὺς, ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον ἡμῖν δοκεῖ, οὐκ ἀνωμάλως οὐδὲ ἀτάκτως οὔτε ἐθεραπεύον, οὔτε ὠργίζον. οὐδὲ ἔστι ποτὲ μὲν δόξειν αὐτοῖς τριακοσίους βοῦς ἐπέμπον. ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλιπον. οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτὰς, αἷς ἑστίασίς τις προσεῖναι μεγαλοπρεπῶς ἤγον. ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν, ἀτόμιαθ ὠμάτων ἔθυον. ἀλλ' ἐκείνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσωσι, μήτε ἕν τῶν νομιζομένων προσθῶσιν. οὐ γὰρ ἐν

λειτουργίαν

καὶ τεπφονόντων

ὡς δὲ σιωπῶμεν ἔτι

ἄλλις περὶ τῆς δημοκρατίας

περὶ τῶν καθ' ἡμέρ

τὰ περὶ τοὺς θεοὺς

G 11

λειτουργίαν

καὶ τεπφονόντων

Τοῖς ἐντυγχάνουσι

συνεβάλετο

δυοῖν ἰσοτίμοιν & πῶ δυῶν. notn

in sacro quod facit aurum

τοιγάρτοι

ταῖς πολυτελείαις ἐνομίζομεν ἄμαι τὴν δόσεβειαν, ἀλλὰ ἐν τῶ μὴ δὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. τοι γάρτοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως, οὐδὲ ἄτακτα δῶρα αὐτοῖς συνέβαινεν. ἀλλὰ καίρως, καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας, καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν. παρὰ πλησίον δὲ τοῖς προειρημένοις, καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμολόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο προνοίαν ἀλλήλων, ὅσην περ χρὴ τοὺς δι' φρονοῦντας, καὶ πατρίδος κοινωνοῦντας. οἵτε γὰρ πενέστεροι τῶν πολιτῶν, τοσοῦτον ἀπέχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥστε ὁμοίως ἐκπονοῦντο τῶν οἰκείων τῶν μεγάλων, ὥσπερ τῶν σφετέρων αὐτῶν. ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν, αὐτοῖς εὐπορίαν ὑπάρχειν. οἵτε τὰς οὐσίας ἔχοντες, οὐχόπως ὑπερεωρῶν τοὺς κατὰ δεύτερον πράττοντας, ἀλλὰ ὑπολαμβάνοντες αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπιμνήμονα ταῖς ἐνδείαις. τοῖς μὲν, γεωργίαις ἐπιμετρίαις μισθώσεσι παραδιδόντες. τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες. τοῖς δὲ τὰς ἄλλας ἐργασίας ἀφορμὴν παρέχοντες. οὐδὲ γὰρ ἐδεδίεσαν μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν. ἢ πολλὰ πράγματα σχόντες, μέρος τι κομίσαιντο τῶν πρόσθεν ὄντων. ἀλλ' ὁμοίως ἐθάρρουν περὶ τῶν ἔξω διδομένων ὥσπερ περὶ τῶν ἐνδον ἀποκειμένων. ἐώρων γὰρ τοὺς περὶ τῶν τοιούτων κρινομένους, οὐ τοῖς ἐπιφανεῖς καταχρωμένους, ἀλλὰ τοῖς μόνοις πειθομένους. οὐδὲ ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὐτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας. ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων. καὶ νομίζοντας διὰ τοὺς ἄτακτα τὰ συμβόλαια ποιοῦντας, μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων. τοὺς μὲν γὰρ ἢν παύσωνται προσποιούμενοι, μικρῶν προσόδων ἀποστερήσεσθαι. τοὺς δὲ ἂν ἀπορήσωσι τῶν ἐπαρκούντων ἄν τὴν ἔσχατην ἐνδεῖαν καταστήσεσθαι. καὶ γὰρ τοι διὰ ταύτην τὴν γνώμην, οὔτε ἀπεκρύπτετο τὴν οὐσίαν, οὔτε ὤκνει συμβάλλειν οὐδένα. ἀλλὰ διὸ εὐ-

τῆς ὀρθῆς γνώμης

προσποιούμενοι· αἰσχύνεσθαι· καὶ γὰρ τοι

προσποιούμενοι καὶ γὰρ τοι

συγκομιδὴ.
οὐχόπως
τοιγάρτοι

δρεοπαλίτικὸ

ρῶν τοὺς δεομένους, ἢ τοὺς ἀποδιδόντας. ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅ περ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες. ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν, καὶ τὰ σφέτερα αὐτῶν ἐν ἔργοις καθίστασαν. κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν. αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷς περ καὶ τὸ δίκαιον ὑπῆρχεν. αἱ δὲ ἐπίστησι κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν, ἴσως ἂν οὖν τιν ἐς ἐπιτιμήσειαν τοῖς δρωμένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γενομένας. τὰς δὲ αἰτίας, οὐ φράζω δι' ἃς οὕτω καλῶς καὶ πρὸς σφᾶς αὐτοὺς εἶχον, καὶ τὴν πόλιν διῴκουν. ἐγὼ δὲ οἶμαι μὲν εἰρῆκέναι τι καὶ τοιοῦτον. οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν. ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον. ἐπεὶ δὴ δεῖν ἄνδρας δοκιμαζεῖν, ἐξῆν αὐτοῖς ποιεῖν ὅτι βουληθεῖεν. ἀλλὰ ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείστος ἐπιμέλειαν ἐτύγχανον, ἢ παῖδες ὄντες. οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας. ἣν οὐχ οἱόν τ' ἦν μεῖναι χείν. πλὴν τοῖς καλῶς γεγονόσι, καὶ πολλὴν ἀρετὴν καὶ σωφροσύνην ἐν τῶ βίω ἐνδεδειγμένοις. ὥστε πάντων αὐτὴν ἀκούσαντες διενεγκεῖν, τῶν ἐν τοῖς ἑλληνικοῖς σωμασιν. σημείοις δὲ ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων. καὶ τοῖς ἐν τῶ παρόντι γιγνομένοις. ἔτι γὰρ καὶ νῦν ἅπαντων τῶν περὶ τὴν ἀρετὴν καὶ τὴν δοκιμασίαν ταύτην καθιεμένων. οἱ μὲν ἄν, τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπιδεῖν ἄν ἄρχειν πάγον λαβοῦσιν, ὀκνοῦντας τὴν φύσιν χρῆσθαι. καὶ μᾶλλον τοῖς ἐκείνοις μιμοῖεν, ἢ ταῖς αὐτῶν κακίαις ἐμμένοντας. τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐνεπέφυσαν. καὶ τοσοῦτον μνήμην ἐν τῶ τόπω τῆς ἑαυτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον. τὴν δὴ τοι αὐτὴν ὥσπερ ἔφην, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας. οἱ τοὺς μὲν οἰομένους ἐν τῶθ' ἀβελτεροῦν ἄνδρας γίνεσθαι παρ' οἷς οἰόμενοι μετὰ τέχνης ἀκριβείας κέμε-

δεομένους

ἐνεργά

οὐ μὴν ἀλλὰ

παιδίαις
ἀκμαῖ

ἐνεργά
οὐ μὴν ἀλλὰ

μοι τυγχάνουσιν, ἀγνοῆν ἐνομίζον. οὐδὲν γὰρ κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς ἕλληνας, εἰ κατὰ τοῦ ῥάδιον εἶναι τὰ γράμματα λαβεῖν παραλλήλων. ἀλλὰ γὰρ οὐκ ἐκ τοιούτων τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς. ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων. τοὺς γὰρ πολλοὺς τοῖς ἤθεσιν ἀποβαίνειν ὁμοίους ἀνάγκη, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν. ἐπεὶ τάγε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων, σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν αὐτήν. ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων πολλοὺς γίγνεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. δεῖ δὲ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς τοίχους ἐμπιπλάναι γραμμάτων, ἀλλὰ ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον. οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις. καὶ τοὺς μὲν κακῶς τεθραμμένους, καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους, τολμήσειν παραβαίνειν. τοὺς δ' ἀσφαλῶς πεπαιδευμένους, καὶ τοῖς καλῶς κειμένοις θελήσειν ἐμμένειν. ταῦτα δὲ διανοηθέντες, οὐ τοῦτο πρῶτον ἐσκόπουν ὅ τῶν κολάσουσι τοὺς ἀκοσμοῦντας. ἀλλ' ἐξῶν ἂν κατασκευάσωσι, μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἁμαρτάνειν. ἡγοῦντο γὰρ τοῦτο μὲν αὐτῶν ἔργον εἶναι. τὸ δὲ περὶ τὰς τιμωρίας ἀσυνδάλλειν, τοῖς ἐχθροῖς προσήκειν· ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν μάλιστα δὲ τῶν νεωτέρων. εὑρῶν γὰρ τοὺς ἡλικιώτας ταραχὰς δεινὰς διακείμενους· καὶ πλείστων γέμοντας ἐπιθυμιῶν· καὶ τὰς ψυχὰς αὐτῶν παιδευθῆναι μάλιστα δεόμενας, ἐν ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ τρόποις ἡδομένας ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμένειν αὐτοὺς ἐλευθέρους τε καὶ μεγαλοφρονεῖν εἴθισμένους· ἁπάντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἀγεῖν διατριβὰς, οὐχ οἷόν τ' ἦν ἀνωμάλως τὰ περὶ τὸν βίον ἔχοντας· ὥσ δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέτατον. τοὺς μὲν γὰρ ὑποδεεστέρους πράττοντας, ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔπεισον· εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀγορίας γιγνομένας· τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· ἀναγκαίου τὴν ἀρχὴν τῶν κακῶν ἀπαλλάττειν ὤοντο· καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνων γιγνομένων. τοὺς δὲ βίον ἱκανὸν κεκτημένους, περὶ τὴν ἱππικὴν καὶ τὰ γυμνάσια, καὶ τὰ κυνηγέσια, καὶ τὴν φιλοσοφίαν, ἠνάγκασαν διατρίβειν. ὁρῶντες ἐκ τούτων τοὺς μὲν διαφέροντας γιγνομένους· τοὺς δὲ, τῶν πλείστων κακῶν ἀποστεροῦντας· καὶ ταῦτ' οὐ μόνον θετικῶς τὸν λοιπὸν χρόνον ὀλιγωρεῖν· ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας ἔσω τῆς βουλῆς ἤγον. ἢ δὲ τοὺς μὲν ἐνουθέτει· τοῖς δὲ ἐπέλει· τοὺς δὲ ὡς προσήκεν ἐκόλαζεν· ἐπίστευον γὰρ ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες, οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηρῶν· παρόντες μὲν γὰρ μήτε φυλακὴν μήτε ζημίαν τῶν τοιούτων καθεστήκε, μηθ' ἀκριβῶς ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι, καὶ τὰς ἐπιείκειας τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συμμέτρως τυχεῖν, ἐν τούτοις δὲ ἐξίτηλοι γίγνεσθαι τὰς κακοηθείας· ἅπερ ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέρους καθεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις· τοσούτου γὰρ ἐδέοντο αὐτοὺς λανθάνειν οἰκακοῦντι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδοξοῦντας ἁμαρτήσεσθαι προνοεῖν ἀνάγκη· τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφείοις οἱ μεσότεροι διέτριβον· οὐδ' ἐν ταῖς αὐλητρίσιν· οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς μὴν διημερεύουσιν· ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἐμένον, ἐν οἷς ἐτάχθησαν· θαυμάζοντες καὶ ὁμιλοῦντες, τοὺς ἐν τούτοις πρωτεύοντας· οὕτω δὲ ἐφεύγον τὴν ἀγορὰν, ὥστε εἰ καὶ ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες· ἀντεῖπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοιδορήσασθαι, δεινότερον ἐνομίζον εἶναι ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτάνειν· ἐκ παιδὸς δὲ φαγεῖν ἢ πιεῖν, οὐδεὶς, οὐδ' ἂν οἰκέτης ἐπεχείρησε τόλμησε· σεμνύνεσθαι δὲ ἐμελέτων καὶ οὐ βωμολοχεύεσθαι· καὶ τοὺς εὐτραπέλους δεκάς κώπτειν δυναμένους οὐν νῦν εὐφυεῖς προσαγορεύουσιν· ἐκεῖνοι δυστυχεῖς ἐνομι-

ἐπίδοσις τῆς ἀρετῆς

ἐμφράγματα

ἥρμοττεν

περὶ τῶν νεωτέρων

σημαίνεσθαι

ἐξίτηλοι

σκιραφείοις

συλλόγοις

διημερεύουσιν

ἡ πόλις διαιρουμένη κατὰ κώμας ἡ δὲ χώρα κατὰ δήμους

κώμαι

δῆμοι

εὐτραπέλοι

facetos dicaces

ζομ· καὶ μηδ' ἃς οἰεσθωμε δυσκόλως διακεῖσθαι πρὸς τοὺς
τοιούτους ἐχόντας τὴν ἡλικίαν· οὔτε γὰρ ἡγοῦμαι τούτους αἰ-
τίους εἶναι τῶν γιγνομένων· συνοιδάτε τοῖς πλείοσι αὐ-
τῶν ἡ ἡλικία χαίρουσι ταύτῃ τῇ καταστάσει. διὰ ἣν ἐξεστιν αὐ-
τοῖς, ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστε οὐκ ἂν
εἰκότως τούτοις ἐπιτιμῶμεν· ἀλλὰ πολὺ ἂν δικαιότε-
ρον τοῖς ὀλίγῳ πρόσθεν τὴν πόλιν διοικήσασιν· ἐκεῖνοι γὰρ
ἦσαν οἱ τὴν ἀρχὴν προτρέψαντες ἐπὶ ταῦτα τοῖς ὀλιγωρί-
αις· καὶ καταλύσαντες τὴν τῶν βουλῶν δύναμιν· οὐδ' ἐπιστα-
τοῦσιν οὐδικῶν, οὐδ' ἐγκλημάτων, οὐδ' εἰσφορῶν, οὐδ' ἐπε-
ίασαν, οὐδ' πολέμων ἡ πόλις ἐγένετο· ἀλλὰ καὶ πρὸς ἀλ-
λήλους ἡσυχίαν εἶχον, καὶ πρὸς τοὺς ἄλλους ἁπάντας εἰρ-
ήνην ἦγον· παρεῖχον γὰρ σφᾶς αὐτοὺς, τοῖς μὲν ἕλλησι πιστοὺς.
τοῖς δὲ βαρβάροις φοβεροὺς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν,
παρὰ δὲ τῶν δίκην τῆς ἀλιτείας εἰληφότες· ὥστε ἀγαπᾶν ἐκεί-
νους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν· τοιγαρτοι διὰ ταῦτα με-
τὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πο-
λυτελεστέρας τὰς οἰκήσεις καὶ τὰς ἐπισκευὰς τὰς ἐπὶ τῶν
ἀγρῶν, ἢ τὰς ἐν τοῖς τείχεσι· καὶ πολλοὺς τῶν πολιτῶν, μὴ δὲ
τὰς ἑορτὰς εἶναι ἄσυκα ταβαίνειν· ἀλλὰ ἄρεσθαι μὲν εἶναι ἐπὶ
τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον, ἢ τῶν κοινῶν ἀπολαύειν· οὐδὲ γὰρ
τὰ περὶ τὰς θεωρίας ὧν εἴ τις ἔλθοι, ἀσελγῶς οὐδὲ ὑπερη-
φάνως, ἀλλὰ μουσικῶς ἐποίουν· οὐ γὰρ ἐκ τῶν πομπῶν οὐ
δὲ ἐκ τῶν περὶ τὰς χορηγίας φιλοτιμιῶν, οὐδὲ ἐκ τῶν τοιούτων
ἀλαζονεύειν τὴν εὐδαιμονίαν ἐδοκίμαζον· ἀλλ' ἐκ τοῦ σωφρό-
νως οἰκεῖν, καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν· καὶ τοῦ μηδένα τῶν πο-
λιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων· ἐξ ὧν περ χρὴ κρίνειν τοὺς ὡς
ἀληθῶς εὖ πράττοντας, καὶ μὴ φορτικῶς πολιτευομένους·
ἐπεὶ νῦν γε τίσι οὐκ ἂν ἔστι τοῖς γιγνομένοις τῶν εὖ φρονούν-
των ἀλγήσειεν, ὅταν ἴδῃ τιμᾶσθαι τῶν πολιτῶν, αὐτοὺς μὲν
περὶ τῶν ἀναγκαίων ἃ θ' ἕξουσιν ἄν τε μὴ, πρὸ τῶν δικαστηρί-
ων κληρουμένους· τῶν δὲ ἑλλήνων τοὺς ἐλεύθερα τὰς ψυχὰς
βουλομένους, τρεφεῖν ἀξιοῦντας· καὶ χορεύοντας μὲν ἐν χρυ-
σοῖς ἱματίοις· χειμαζόντας δὲ ἐν τούτοις ἐν οἷς οὐ βού-

σύνοιδάτε τοῖς πλείοις αὐτῶν ἡλικία χαίρουσι &

τοις δ' ἄρτοι

nunc ἐχόντως χορηγίας ὡς ἀληθῶς

aut id quod dicere nolo

παρὰ δὲ τῶν

νοσωι ἐχόντως

χορηγίας

ὡς ἀληθῶς

λομαι λέγειν· καὶ τοιαῦτας ἄλλας ἁμαρτιώσεις, περὶ τὴν
τοιαύτην διοίκησιν γιγνομένας· αἱ μεγάλην αἰσχύνην περι
ποιοῦσι τῇ πόλει· ὧν οὐδὲν ἐπέκειτο τῶν βουλῶν· ἀπή-
λαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀπορίων ταῖς ἐργασί-
αις, καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις· τοὺς δὲ μεσο-
ρους τῶν ἀκολασιῶν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπι-
μελείαις· τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν ταῖς
τιμωρίαις· καὶ τῶν μὴ λανθάνειν τοὺς ἀδικοῦντας· τοὺς
δὲ πρεσβυτέρους τῶν ῥαθυμιῶν, ταῖς τιμαῖς ταῖς πο-
λιτικαῖς· καὶ ταῖς παρὰ τῶν νέων θεραπείαις· καίτοι πῶς
ἂν γένοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω κα-
λῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης· καὶ περ-
ὶ μὲν οὖν τῶν τότε καθεστώτων, τὰ μὲν πλείστα διεληλύ-
θαμεν· ὅσα δὲ παραλελοίπαμεν ἐκ τῶν ἑξῆς μέρων ὅτι κα-
κεῖνα τὸν αὐτὸν τρόπον εἶχε τούτοις, ῥᾴδιον ἐστι καταμα-
θεῖν· ἤδη δ' ἔτι νέοι ἀκούσαντες μου τοῦτο ἐπεξιόντος, ἐπὶ
μέσον μὲν ὡς οἷον τε μάλιστα· καὶ τοὺς προγόνους ἐμακάρισαν,
ὅτι τὸν τρόπον τοῦτον τὴν πόλιν διῴκουν· οὐ μὴν ὑμᾶς ὤοντο
πεφυκέναι χρῆσθαι τούτοις· ἀλλ' ἀρνήσεσθαι διὰ τὴν συ-
μφορὰν, ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπαθεῖν μᾶλλον,
ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἀμφοῖν τὸν βίον διάγειν· εἶναι
δὲ φασὶν οἱ καὶ κίνδυνον μὴ τὰ βέλτιστα συμβουλεύειν,
μισόδημος εἶναι δόξω· καὶ τὴν πόλιν ζητεῖν ἐξ ὀλιγαρχίαν ἐμ-
βαλεῖν· ἐγὼ δὲ μὲν πραγμάτων περὶ ἀγνοουμένων καὶ και-
νῶν τοὺς λόγους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς
ἑλέσθαι συνέδρους, ἢ συγγραφέας, διὰ ὧν ὁ δῆμος κατε-
λύθη τὸ πρότερον, εἰκότως ἂν ἔσχον τὴν αἰτίαν ταύτην· νῦν
δὲ οὐδὲν εἶναι τοιοῦτο, ἀλλὰ διείλεγμαι περὶ διοικήσεως,
οὐκ ἀποκεκρυμμένης, ἀλλὰ φανερᾶς· ἣν ἅπαντες ἴστε, καὶ
πάτριον ἡμῖν οὖσαν, καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει·
καὶ τοῖς ἄλλοις ἕλλησιν αἰτίαν γεγενημένην· πρὸς δὲ τού-
τοις ὑπὸ τοιούτων ἀνδρῶν μεμεθετηθεῖσαν καὶ κατα-
παθεῖσαν, οὓς οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημο-
τικωτάτους γεγενῆσθαι τῶν πολιτῶν· ὥστε πάντων ἄμμοι

περὶ τοῦ πολιτεύειν

πεποιοῦσι

καίτοι

πράγματων περὶ

περιποιοῦσι

πράγματων περὶ

συμβαίη δ' μόνον, ἃ τοιαύτην πολιτείαν ἡγούμενος,
μείζω δόξαιμι πραγμάτων ἐπιθυμῶν· ἐπεὶ τὰ κακὰ
θεῖν ῥᾴδιον τὴν διάνοιαν διαγιγνώσκειν τὴν ἐμήν· ἐν γὰρ τοῖς
πλείστοις τῶν λόγων τῶν ἀρημένων ὑπ' ἐμοῦ, φαίνομαι
τοῖς μὲν ὀλιγαρχίαις καὶ πλουτοκρατίαις ἐπιτιμῶν· τοῖς δὲ
ἰσότητας καὶ τοῖς δημοκρατίαις ἐπαινῶν οὐ πάσας,
ἀλλὰ τοῖς καλῶς καθεστηκυίας· οὐδ' ὡς ἐτύγχανον, ἀλ-
λὰ δικαίως καὶ μουνεχόντως· οἶδα γὰρ τοὺς γε προγόνους
τοὺς ἡμετέρους, ταύτην τὴν κατάστασιν, πολὺ τῶν ἄλλων
διενεγκόντας· καὶ λακεδαιμονίους διὰ τοῦτο κάλλιστα
πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχά-
νουσιν· ἐν γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει καὶ τῷ βίῳ τῷ καθ' ἡμέ-
ραν· καὶ τοῖς ἄλλοις τοῖς ἐπιτηδεύμασιν, ἴδοι μὲν ἂν παρ'
αὐτοῖς τοῖς ἰσότητας καὶ τοῖς ὁμοιότητας μάλλον, ἢ
παρὰ τοῖς ἄλλοις ἰσχυούσας· οἷς, ἃ μὲν ὀλιγαρχίαι πο-
λεμοῦσιν· οἱ δὲ καλῶς δημοκρατούμενοι χρώμενοι δια-
τελοῦσι· τῶν τοίνυν ἄλλων πόλεων τοῖς ἐπιφανεστάταις
καὶ μεγάλαις, ἣν ἐξετάζειν βουληθῶμεν, εὕρησομεν τοῖς
δημοκρατίαις μᾶλλον, ἢ τοῖς ὀλιγαρχίαις συμφερούσας·
ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἣ πάντες ἐπιτιμῶσιν,
ἣν παραβαλωμεν αὐτὴν, μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλ-
λὰ πρὸς τὴν ἐπὶ τῶν τριάκοντα κατεστᾶσαν, οὐδὲν ὅσ-
τις οὐκ ἂν θεοποίητον εἶναι μομίσειεν· βούλομαι δ' εἰκαιτιμε-
φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν
ὅσον αὐτῆς τότε διέστηκεν· ἵνα μηδὲν ὦσι οἰηταίμε, τὰ μὲν
ἁμαρτήματα τοῦ δήμου, λίαν ἀκριβῶς ἐξετάζειν· ἃ δὲ τι
καλὸν ἦν ἐν μέσῳ διαπεπρακται, τοῦτα παραλιπεῖν·
ἔσται δὲ ὁ λόγος, οὔτε μακρὸς οὔτε ἀμωφελὴς τοῖς ἀκούου-
σιν· ἐπεὶ δὴ γὰρ τοῖς μὲν τοῖς περὶ τὸν ἑλλήσποντον ἀπω-
λέσαμεν, καὶ τοῖς ἀτυχίαις ἐκείναις ἡ πόλις περιέπεσε,
τίς οὐκ οἶδε τῶν πρεσβυτέρων, τοὺς μὲν δημοτικοὺς κα-
λουμένους ἑτοίμους ὄντας, ὅτι οὖν πάσχειν, ὑπὲρ τοῦ μὴ
ποιεῖν τὸ προσταττόμενον· καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται
τὴν πόλιν τὴν τῶν ἑλλήνων ἀξίαν, ὑφ' ἑτέροις οὖσαν,

ὡς ἐτύχανον

νουνεχόντως

χρώμενοι διατελοῦσι

ἃ καὶ . ῥηθεῖσ

ὁποῖοι ὦν

νουνεχόντως

ὡς ἐτύχαν●ν

χρώμενοι

Δρακοπαλίτικος

καὶ τούτους μὲν ἑκατόν οὐδ' ὄντας γενομένους· τοὺς δὲ τῆς ὀλι-
γαρχίας ἐπιθυμήσαντας, ἑτοίμως καὶ τὰ τείχη καθαροῦν
τας καὶ τὴν δουλείαν ὑπομένοντας· καὶ τότε μὲν ὅτε τὸ
πλῆθος κύριον ἦν τῶν πραγμάτων, ἡμᾶς τοὺς τῶν ἄλλων
ἀκροπόλεις φρουροῦντας· ἐπειδὴ δὲ οἱ τριάκοντα παρέλα-
βον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας·
καὶ κατὰ μὲν ἑκείνον τὸν χρόνον δεινοὺς ἡμῶν ὄντας λακε-
δαιμονίους· ἐπειδὴ δὲ οἱ φεύγοντες καὶ ἐλθόντες πολεμεῖν ὑ-
πὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ κόνωνα μαχῶν ἐνίκησεν,
πρέσβεις ἐλθόντας παρ' αὐτοῦ, καὶ διδόντας τὴν πόλιν τὴν ἀρχὴν
τῆς θαλάσσης· καὶ μὲν δὴ καὶ τάδε τοῖς οὐ μνημονεύειν τῶν
ἡλικιωτῶν τῶν ἐμῶν· τὴν μὲν γὰρ δημοκρατίαν οὕτω κοσμη-
σάσαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς θυσίαις, ὥστε ἔτι
καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον
τῶν ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· τοὺς
δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τοὺς δὲ συλήσαντας,
τοὺς δὲ μεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀπο-
δομένους· ἐν οἷς ἡ πόλις ἀμήλωσεν οὐκ ἐλάττω χιλίων τα-
λάντων· ἀλλὰ μὴν οὐδὲ τὴν πραότητα δικαίως ἄν τις ἐ-
παινέσειε τὴν ἐκείνων μᾶλλον, ἢ τὴν τῆς δημοκρατίας· οἱ
μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν πεντακο-
σίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν·
οἱ δὲ κρατήσαντες, καὶ μεθ' ὅπλων μετιόν-
τες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἠμέλουν·
οὕτω τὰ πρὸς ἀλλήλους καλῶς καὶ μομίμως διώκη-
σαν, ὥστε μηδὲν ἐλάττον ἔχειν, τοὺς ἐκβαλόντας τῶν κα-
τελθόντων· ὁ δὲ πάντων κάλλιστον τεκμήριον καὶ μέγιστον
τῆς ἐπιείκειας τοῦ δήμου· δαυείσαμεν γὰρ τῶν ἐν ἄστει
μυριάδων ἑκατὸν τάλαντα παρὰ λακεδαιμονίων εἰς τὴν
πολιορκίαν τῶν τὸν πειραιᾶ κατεχόντων, ἐκκλησίας γε-
νομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόν-
των πολλῶν ὡς δίκαιον ἐστι διαλύειν τὰ πρὸς τοὺς
λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δαυει-

παρ' αὐτοῦ

παραλαβόντες

νεωσοίκους

μετιόντες

παρ' αὐτοὺ ἢ σοω πρὸς αὐτ" βασιλέος. αὐτοὶ παρὰ τοὺς ἰατρὸ ἔρχονται

νεωσοίκους

πραλαβόντες

μετιόντες

σαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν, καὶ γὰρ τοι διὰ ταύτην τὴν γνώμην ἔσται τοιαύτην ἡμᾶς ὁμόνοιαν κατεργάσαν. καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε λακεδαιμονίους τοὺς ἐπὶ τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην ἡμέραν ἡμῖν προστάττοντας, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας, καὶ δεησομένους μὴ περιιδεῖν σφᾶς αὐτοὺς ἀναστάτους ὑπὸ θηβαίων γενομένους. τὸ δοῦν κεφάλαιον τῆς ἑκατέρων διανοίας, τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν· οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν. ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκεν· πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος, οὐκ ὀλιγαρχικῶν οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας· ἐπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας· τάς τε καλῶς πολιτευομένας προεχούσας, τῷ δικαιοτέρας εἶναι καὶ τοῖς χρωμένοις ἡδίους· τὰ οὖν ἀντιμνήμονα θαυμάσας τί βουλόμενος ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης, ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν· καὶ τίνος ἕνεκα· νῦν μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρατίαν· ὅταν δὲ τύχω πάλιν μεταβαλόν, ἐπιτιμῶ καὶ κατηγορῶ τῶν καθεστηκότων· ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν καὶ ὀρθοῦντας, πολλὰ δὲ ἐξαμαρτάνοντας, μέμψομαι· καὶ νομίζω φαυλότερον εἶναι τοῦ δέοντος· καὶ πρός τε τούτοις, τοὺς γένος ὄντας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ μικρὰ μὲν ὀρθοῦντας ἐπιεικέστερον τῶν ὑπερβαλλόντων τοῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατρῴων λοιδορῶ· καὶ συμβουλεύσαι μὲν αὐτοῖς παύσασθαι τοιούτοις οὖσι· τὴν αὐτὴν οὖν γνώμην ἔχων, καὶ περὶ τῶν κοινῶν ἡγοῦμαι δεῖν ἡμᾶς μὴ μεγαλοφρονεῖν μὴ δ' ἀγαπᾶν, εἰ κακοδαιμονήσαντων καὶ μαινομένων ἀνθρώπων, νομιμώτεροι γεγόναμεν· ἀλλὰ πολὺ μᾶλλον ἀγαπᾶν, καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγόνων τυγχάνομεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετὴν, ἀλλ' οὐ πρὸς τὴν τῶν πριάκοντα πονηρίαν ἀμιλλητέον ἡμῖν ἐστιν· ἄλλως τε προσῆκον

Τὸ κεφάλαιον τῆς ἑκατέρων διανοίας

ὅτε μὲν δὲ τύχω

ἀμιλλητέον

τύχω

ἀμιλλητέον

ἡμῖν, βελτίστοις ἀπάντων ἀνθρώπων εἶναι· καὶ τοῦτον εἴρηκα τὸν λόγον, οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη, καὶ πρὸς πολλούς· ἐπίσταμαι γὰρ ἐμὲ τοῖς ἄλλοις τόποις, φύσει ἐπιγιγνομένας καρπῶν καὶ δένδρων, καὶ ζώων ἱδρύσαν ἐν ἑκάστοις, καὶ πολὺ τῶν ἄλλων διαφερούσας· τὴν δ' ἡμετέραν χώραν ἄνδρας καὶ τρέφειν, καὶ φέρειν διωαμένην, οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις ἀφυεστάτους, ἀλλὰ καὶ πρὸς ἀνδρίαν, καὶ πρὸς ἀρετὴν διαφέροντας· τεκμαίρεσθαι δὲ δίκαιον ἔστι τοῖς τε παλαιοῖς λόγοις οὓς ἐποιήσαντο πρὸς ἀμαζόνας καὶ θρᾴκας καὶ πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ περσικὰ γενομένοις· ἐν οἷς καὶ μόνοι καὶ μετὰ πελοποννησίων καὶ πέζομαχοῦντες καὶ ναυμαχοῦντες νικήσαντες τοὺς βαρβάρους, ἀρετῇ ἠξιώθησαν· ὧν οὐδὲν ἂν ἐπράξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν· καὶ μηδὲ εἰς οἰέσθω τὴν ἐμὴν λογίαν ταύτην προσήκειν ἡμῖν τοῖς νῦν πολιτευομένοις· ἀλλὰ πολὺ τοὐναντίον. εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων, ἔπαινοι μὲν τῶν ἀξίων σφᾶς αὐτοὺς τῶν τῶν προγόνων ἀρετῶν παρεχόντων· κατηγορίαι δὲ τῶν τοῖς ἐμγενείαις ταῖς αὐτῶν ῥαθυμίαις καὶ κακίαις καταιχυνόντων· ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές· τοιαύτης φύσεως ὑπαρχούσης, οὐδὲ φυλάξαμεν αὐτήν· ἀλλ' ἐμπεπτώκαμεν εἰς ἀλγηδόνας καὶ παραχήν, καὶ πονηρῶν πραγμάτων ἐπιθυμίαν· ἀλλὰ γὰρ ἡν ἐπακολουθῶν τοῖς αἰνοῦσιν, ἐπιτιμήσω καὶ κατηγορήσω τῶν ἐνεστώτων πραγμάτων, δεδοικὰ μὴ πόρρω λίαν τῆς ὑποθέσεως ἀποπλανῶ· περὶ μὲν οὖν τούτων, καὶ πρότερον εἰρήκαμεν, καὶ πάλιν ἐροῦμεν· ἢν μὴ πείσωμεν ὑμᾶς παύσασθαι τοιαῦτα ἐξαμαρτάνοντας· περὶ δὲ ὧν ἐξ ἀρχῆς τὸν λόγον κατεστησάμην βραχέα διαλεχθείς, παραχωρήσομαι τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων· ἡμεῖς γὰρ, ἢν μὲν οὕτως οἰκῶμεν τὴν πόλιν ὥσπερ νῦν οἰκοῦμεν, οὐκ ἔστιν ὅπως οὐκ ἂν βουλευσόμεθα καὶ πολεμήσομεν καὶ βιώσομεθα· καὶ σχεδὸν ἅπαντα κακὰ πείσομεθα καὶ πράξομεν ἅπερ ἐν τῷ παρόντι καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλωμεν τὴν πολιτείαν, δηλονότι τὸ κατὰ τὸν

καταιχυνόντων

ἀποπλανῶ

παραχωρήσομαι

οὐκ ἔστ' ὅπως

ἀυτὸν λόγον, οἷάπερ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτα ἔσται καὶ περὶ ἡμᾶς. ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων καὶ τὰς πράξεις ὁμοίας ἀφ' καὶ παραπλησίας ἀποβαίνειν. δεῖ δὲ τὰς μεγίστας αὐτῶν παραλλήλας τιθέντας, βουλεύσασθαι πότερας ἡμῖν αἱρετέον ἐστί. καὶ πρῶτον σκεψώμεθα τοὺς ἕλληνας καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἑκάνην τὴν πολιτείαν διεκείντο, καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς. οὐ γὰρ ἐλάχιστον μέρος τὰ γενηθέντα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν. οἱ μὲν τοίνυν ἕλληνες, οὕτως ἐπίστευον τοῖς κατ' ἐκείνον τὸν χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν, ἐκόντας ἐγχειρίσαι τὴν πόλιν σφᾶς αὐτούς. οἱ δὲ βάρβαροι τοσοῦτον ἀπέχουν τοῦ πολυπραγμονεῖν περὶ τῶν ἑλληνικῶν πραγμάτων, ὥστε οὔτε μακροῖς πλοίοις ἐπίστευον φασηλίδος ἐπιπλεῖν, οὔτε στρατοπέδοις ἐν τῷ ἄλυος ποταμοῦ κατέβαινον. ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. νῦν δὲ ἔστι τοῦτο τὰ πράγματα καθέστηκεν, ὥστε οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. καὶ περὶ μὲν τοὺς μίσουσι τῶν ἑλλήνων, αὐτῶν ἀνήκοάτε τῶν στρατηγῶν. ὧν δὲ βασιλεύς ἔχει τὰ πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν ὧν ἔπεμψεν ἐδήλωσεν. ἔτι δὲ πρὸς τούτοις ὑπὸ μὲν ἑκάνης τῆς ἀταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετήν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ κιρεῖν. τοὺς δὲ ἄλλους τὴν χώραν ἄν βάλλοντας, ἅπαντας μαχόμενοι νικᾶν. ἡμᾶς δὲ τοὐναντίον. ἀλλήλοις μὲν γὰρ κακὰ παρέχομεν, οὐδεμίαν ἡμέραν παραλείπομεν. τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήσαμεν, ὥστε οὐδὲ ἐξεταστὰς εἶναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. τὸ δὲ μέγιστον τότε μὲν οὐδὲ ἦν τῶν πολιτῶν οὐδένες τῶν ἀναγκαίων, οὐδὲ προσαιτῶν τοὺς ἐντυγχάνοντας τὴν πόλιν καταισχυνεῖν. νῦν δὲ πλείους εἰσὶν οἱ ἀναμιγνύμενοι τῶν ἐχόντων. οἷς ἀξιοῦμεν πολλὴν συμμιγνύμενον ἐχθρὸν μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν, ὁπόθεν ἀφ' τὴν παροῦσαν ἡμέραν διαγήσονται διαγαγεῖν. ἡγούμενος μὲν οὖν ἐγὼ ἡμῖν μιμήσασθαι τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς

συμβάλλεται

ἐγχειρίσαι

φασηλίς

ἄλυς ποταμός

βαρβάρους

ἐξεταστάς

οὐ γὰρ ἐλάχιστον μέρος τὰ γενηθέντα συμβάλλει πρὸς τὴν εὐδαιμονίαν

ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν

ἐξεταστάς

τούτων ἀπαλλαγήσεσθαι, καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως, ἀλλὰ καὶ τῶν ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε προσόδον ἐποιησάμην, καὶ τοὺς λόγους εἰρηκὰ τούτους. ὑμᾶς δὲ ταῦτα πάντα λογισάμενοι, χρότον θέτε ὅτι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

χρόνον θέτε

παναθηναϊκός

Νεώτερος μὲν οὖν, προῃρούμην γράφειν τῶν λόγων, οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τεραστίας καὶ ψευδολογίας μεστοὺς. οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν, ἢ τοῖς περὶ τῆς αὐτῶν σωτηρίας λεγομένοις. οὐδὲ τοὺς τὰς παλαιὰς πράξεις καὶ τοὺς πολέμους τοὺς ἑλληνικοὺς ἐξηγουμένους. καίπερ εἰδὼς δικαίως αὐτοὺς ἐπαινουμένους, οὐ δὴ τοὺς ἁπλῶς εἰρῆσθαι δοκοῦντας, καὶ μηδεμίαν κοσμιότητος μετέχοντας. οὓς οἱ δῆμοι περὶ τοὺς ἀγῶνας, παραιροῦσι τοῖς νεωτέροις μελετᾶν, εἰ περιβούλοιμεν πλέον ἔχειν τῶν ἀντιδίκων. ἀλλὰ πάντας τούτους ἐάσας περὶ ἑκάνους ἐπραγματευόμην, τοὺς περὶ τῶν συμφερόντων τῆς τε πόλεως καὶ τοῖς ἄλλοις ἕλλησι συμβουλεύοντας. καὶ πολλῶν μὲν ἐμνημονεύκασιν, οὐκ ὀλίγων δὲ ἀντιθέσεων καὶ παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν, καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν. νῦν δὲ οὐδὲ ὁπωσοῦν τοὺς τοιούτους. ἡγοῦμαι γὰρ οὐχ ἁρμόττειν, οὔτε τοῖς ἔτεσι τοῖς ἐνενήκοντα, καὶ τέτταρσιν ὧν ἐγὼ τυγχάνω γεγονώς, οὐθ' ὅλως τοῖς νῦν ἐν τῇ πόλει οὖσι ἔχουσιν, ἑκάνον τὸν τρόπον ἔτι λέγειν. ἀλλ' ὡς ἅπαντες μὲν ἂν ἐλπίσειαν ἢ βουληθεῖεν, οὐδὲ εἰς ἂν ὑπολήψειε ῥᾳδίως, πλὴν τῶν πονηρῶν ἐθελόντων καὶ σφόδρα πρὸς ἐχόντων τὸν νοῦν. τούτου δὲ ἕνεκα, ταῦτα τρόπον, ἵν' ἡμῖν ὁ μελλων λόγος λεχθήσεσθαι, μαλακώτερος ὢν φαίνηται τῶν πρότερον διδομένων, μὴ παραβάλλωσι πρὸς τὴν ἑκάνων ποικιλίαν, ἀλλὰ πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι τὴν ἐν τῷ παρόντι δεδο-

ἐνενήκοντα

χρόνον θέτε

ἀντιθέσεων

ἐπραγματευόμην

ῥητορείαις

ἐπισημαίνεσθαι

κιμασμένη, διαλέξομαι δὲ περὶ τῶν τῇ πόλει πεπραγμένων,
καὶ περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ τούτων ἀρξάμε-
νος, ἀλλὰ ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων· ἐντεῦθεν γὰρ οἶμαι
μάλιστα καὶ ἐπείγει. πρῶτον γὰρ ἁμαρτήματος ζῆν,
καὶ τοῖς ἄλλοις ἀλύπως, οὐδὲν διαλελοιπὸς χρόνον, ὑπὸ
μὲν τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμε-
νος, ὑπ' ἄλλων δὲ τιμῶν οὐχ οἷός εἰμι γιγνώσκόμενος. ἀλ-
λὰ τοιοῦτος ὑπολαμβανόμενος, οἷον ἂν παρέτερῶν ἀκού-
σωσι. βούλομαι οὖν προδιαλεχθῆναι περί τε ἐμαυτοῦ, καὶ πε-
ρὶ τῶν οὕτω πρός με διακειμένων. ἵν' ἡ πῶς οἷός τε γίνω-
μαι, τοὺς μὲν παύσω βλασφημοῦντας· τοὺς δὲ εἰδέναι ποι-
ήσω, περὶ ἃ προαιρούμενος τυγχάνω διατριβῆν· ἢν γὰρ τῶν
τῶν λόγων δυνηθῶ διοικῆσαι κατὰ τρόπον, ἐλπίζω τὸν ἐ-
πίλοιπον χρόνον, αὐτός τε ἀλύπως διαξῆν, καὶ τῷ λόγῳ
τῷ μέλλοντι ῥηθήσεσθαι, τοὺς παρόντας μᾶλλον προσεξῆν
τὸν νοῦν· οὐκ ὀκνήσω δὲ καθ' ἡμῶν, οὔτε τὴν νῦν γενομένην ἐν τῇ
διανοίᾳ μου ταραχήν· οὔτε τὴν ἀτοπίαν ἣν ἐν τῷ παρόντι
τυγχάνω γιγνώσκων· οὔτε ἔτι πρότερον τῶν δεόντων. ἐγὼ
γὰρ μετεσχηκὼς τῶν μεγίστων ἀγαθῶν ὧν ἅπαντες ἂν ἐ-
λοίμην τὸ μεταλαβεῖν, πρῶτον μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν
ψυχὴν ὑγείας, οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐμαυτῷ λίαν τοῖς μάλιστα
περὶ ἑκάτερον τούτων εὐτυχήκοσιν, ἐπεφύτευτο τοῖς περὶ τὸν βίον
ἀπορίαις οὕτως, ὥστε μηδὲν ὁστιοῦν πώποτε ἀπορῆσαι τῶν
μετρίων· μηδὲν ὧν ἄνθρωπος ἂν νοῦν ἔχων ἐπιθυμήσειεν, ἔτι
δὲ τοῦ μὴ τῶν καταβεβλημένων εἶναι μὴ δὲ τῶν κατη-
μελημένων, ἀλλ' ἐκείνων, περὶ ὧν οἱ χαριέστατοι τῶν ἑλλήνων,
καὶ μνησθῆναι ἂν, καὶ διαλεχθῆναι ὡς ἀσπουδάστων ὄντων, τού-
των ἁπάντων μοι συμβεβηκότων, τῶν μὲν ὑπερβαλλόν-
τως, τῶν δὲ ἐξαρκούντως, οὐκ ἀγαπῶ ζῶν ἐπὶ τούτοις· ἀλ-
λ' οὕτω μοι τὸ γῆρας ἐστὶ δυσάρεστον, καὶ μικρολόγον, καὶ
μεμψίμοιρον, ὥστε πολλάκις ἤδη τὴν μὲν φύσιν τὴν ἐμαυτοῦ
κατεμεμψάμην· ἧς οὐδὲν ἄλλος καταπεφρόνηκε· καὶ τὴν τύ-
χην ὠδυράμην· ταύτην μὲν οὐδὲν ἔχων ἔγκαλεῖν ἄλλο, πλὴν ὅ-
τι περὶ τὴν φιλοσοφίαν ἣν προειλόμην, ἀτυχίαν τιμῶσι καὶ
συκοφαντίαν γεγόνασι· τὴν δὲ φύσιν εἰδώς, πρὸς μὲν

ἀλύπως

ἀτοπίαν

μεταλαβεῖν

καταβεβλημένων

τὰς πράξεις ἀρρωστοτέραν καὶ μαλακωτέραν οὖσαν τοῦ
δέοντος· πρὸς δὲ τοὺς λόγους οὔτε λείαν οὔτε παντάχῃ χρη-
σίμην· ἀλλὰ δοξάσαι μὲν περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλ-
λον δυναμένην τῶν εἰδέναι φασκόντων· εἰπεῖν δὲ περὶ τῶν αὐτῶν
τούτων ἐν συλλόγῳ πολλῶν παρρησίᾳ ἀμηχανοῦντα, ἁπα-
σῶν ὡς ἔπος εἰπεῖν ἀπολελειμμένην· οὕτω γὰρ ἐμδεής ἀμ-
φοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ἡμῖν,
φωνῆς ἱκανῆς καὶ τόλμης, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν
πολιτῶν· ὧν οἱ μὴ τυχόντες ἀτιμότεροι γίνονται πρὸς τῶ
μὴ δοκεῖν ἄξιοι τιμᾶσθαι, τῶν ὀφειλόντων τῶ δημοσίῳ. τοῖς
μὲν γὰρ ἐκείνοις τὸ καταγνωσθῆναι, ἐλπίδες ὑπάρχουσιν· οἱ δ' ὅ-
δ' ἐπὸ τὰν τὴν φύσιν μεταβάλοιεν· οὐ μὴν ἐπὶ τούτοις ἀθυ-
μήσας, περιείδον ἐμαυτὸν ἀδόξον· οὐδ' ἀφανῆ παντάπασι
γενόμενον· ἀλλ' ἐπὶ πεπολιτεῦσθαι δημάρχου, ἐπὶ τὸ φιλο-
σοφεῖν καὶ πονεῖν καὶ γράφειν ἀδιανοήτην κατέφυγον· οὐ πε-
ρὶ μικρῶν τὴν προαίρεσιν αἰρούμενος· οὐδὲ περὶ τῶν ἰδίων
συμβολαίων, οὐδὲ περὶ ὧν ἄλλοι λιψέσ ληροῦσιν· ἀλλὰ περὶ
τῶν ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων.
διὰ πρόσηκεν ὤμην μοι τοσοῦτον μᾶλλον τιμᾶσθαι τῶν
ἐπὶ τὸ βῆμα παριόντων, ὅσῳ περὶ μείζονων καὶ καλλιόνων
ἤκουον, τοὺς λόγους ἐποιούμην· ὧν οὐδὲν ἡμῖν ἀποβέβηκε· καί-
τοι πάντες ἴσασι τῶν μὲν ῥητόρων πολλοὺς οὐχ ὑπὲρ τῶν
τῆ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λήψεσθαι προσ-
δοκῶσι, δημηγορεῖν τολμῶντας· ἐμὲ δὲ καὶ τοὺς ἐμοὺς οὐ
μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον τῶν ἄλλων, ἀλλὰ
καὶ τῶν ἰδίων εἶναι τὰς τῆς πόλεως χρείας, ὑπὲρ τὴν δύνα-
μιν τὴν ἡμετέραν διαπονουμένους· ἔτι δὲ τοὺς μὲν ἠλοιδο-
ρουμένους ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυημάτων σφίσιν
αὐτοῖς· ἢ λυμαινομένους τοὺς συμμάχους· ἢ τῶν ἄλλων
ὧν ἂν τύχωσι συκοφαντοῦντας· ἐμὲ δὲ τῶν λόγων τούτων
ἡγεμόνα γεγενημένον τῶν παρακαλούντων τοὺς ἕλληνας, ἐ-
πίτε τὴν ὁμονοιαν τὴν πρὸς ἀλλήλους καὶ τὴν στρατείαν τὴν
ἐπὶ τοὺς βαρβάρους· καὶ τῶν συμβουλευόντων ἀποικίαν ἐκ
πέμπειν κοινὴν πάντας ἐπὶ τοιαύτην χώραν καὶ τοσαύτην· πε-
ρὶ ἧς ὅσοι περ ἀκηκόασιν, ὁμολογοῦσιν ἡμᾶς τε εἶναι σωφρο-

δοξάσαι

πρὸς τῶ μὴ δοκεῖν ἄξιοι τινος εἶναι

τῶν ὀφειλόντων τῶ δημοσίῳ

μεσεγγυημάτων

πρὸς τῶ μὴ δοκεῖν ἄξιοι τινος εἶναι

τῶν ὀφειλόντων τῶ δημοσίῳ

μεσεγγυημάτων

δοξάσαι

μήσαιμεν καὶ πᾶσαν μεθ' ἑαυτῶν πρὸς ἀλλήλους μαρίας, τὰ χέως ἀν εὐ πόρων καὶ κινδύνων καταστῆναι αὐτὴν· εἰ δ' ἐκείνη τε ἀδίωσαν ἀπαλλάσσεσθαι τοὺς ἐν δεσμοῖς ἡμῶν ὄντας τῶν ἐπιτηδείων· ὧν πρᾶξις δὲ πάντες σιωπῶντες ζητοῦμεν, οὐδ' ἐπιστάμεθα· οἱ δὲ καὶ λίουσ' οὐδ' ἐμέζουσ· οὐδ' ἐμαλλον ἀ πασιν ἡμῖν συμφερούσας· ἀλλ' ὅμως οὕτω πολὺ τῆς διαμοίας, διεστῶτων ἡμῶν, καὶ τοσοῦτον ἀπεσταθμεν τὴν ἀίρεσιν· οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπολήφασιν· ἀλλὰ ταραχῶδη καὶ παλάπασιν ἀλόγιστον· τῶν τε γὰρ ἄλλων ῥητόρων τὸν τρόπον ψέγουσι, πρεσβεύτας αὐτοὺς τῆς πόλεως ποιοῦνται· καὶ κυρίους αὐτοὺς καθιστᾶσιν· ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦσι, αὐτῶν μοι φθονοῦσι· διὸ οὐδ' ἐν ἕτερον, ἢ διὰ τούτους οὓς ἀποδεχόμεθα τυγχάνουσιν· οὕτως ἀτυχῶς φέρομαι παρ' αὐτοῖς· καὶ τί δεῖ θαυμάζειν τῶν οὕτω διακεῖσθαι πεφυκότων πρὸς ἁπάσας τὰς ὑπεροχὰς· ὅπου καὶ τῶν οἰκείων διαφέρομαι, καὶ ζηλούντων ἐμέ, καὶ μιμεῖσθαι γλιχομένων, τιμᾶς ἔτι δυσμενέστερον ἔχουσι τῶν ἰδιωτῶν· ὧν τίνας ἀνίσους ἔροι πονηροτέρους· ἔστι γὰρ ἔκ τινος δόξης νεωτέρα καὶ βαρυτέρα λέγειν τῆς ἡλικίας, οἵ τιμῶσ' οὔτε φράζειν οὐδ' ἐν μέρος ἔχοντες, τοῖς μαθηταῖς τῶν εἰρημένων ὑπέμου, τοῖς τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς, καὶ ζῶντες ἐν τεύθεν, τοσοῦτον δέουσι χάριν ἔχειν, ὥστ' οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν· ἀλλὰ εἴτι φλαῦρον περὶ ἐμοῦ λέγουσιν· ἐῶσι μὲν οὖν τοὺς λόγους ἡμῶν ἐλυμαίνεσθαι, παραγιγνώσκοντες ὥσ' διωστὸν κακίστα τοῖς ἑαυτῶν καὶ διαιροῦντες οὐκ ὀρθῶς· καὶ κατακιζοντες, καὶ πάντα τρόπον διαφθείροντες· οὐδ' ἐν ἐφρόντιζον τῶν ἀπαγγελλομένων· ἀλλὰ ῥαθύμως ἔχον· μικρὸν δὲ πρὸ τῶν παραθηναίων τῶν μεγάλων ἠχθέσθην δι' αὐτοὺς· ἀπαντήσαντες γὰρ μοι τιμῶσ' τῶν ἐπιτηδείων ἔλεγον, ὡς ἐν τῷ λυκείῳ συκαθεζόμενοι τρεῖς, ἢ τέτταρες τῶν ἀγελαίων σοφιστῶν, καὶ πάντα φασκόντων ἔδεμαι, καὶ ταχέως παντάχου γιγνόμενον, διαλέγοιντο περὶ τε τῶν ἄλλων ποιητῶν· καὶ τῶν ἡσιόδου καὶ ὁμήρου ποιήσεων· οὐδ' ἐν μὲν παρ' αὐτῶν λέγοντες, τὰ δ' ἐκείνων ῥαψῳδοῦντες· καὶ τῶν πρότερον ἄλλοις τισὶν

θαυμάζειν τῶν οὕτω διακεῖσθαι πεφυκότων &c

ὑπεροχάς

παραγιγνώσκοντες

παραθηναῖα τὰ μεγάλα

ἀγελαίων σοφιστῶν

τοσοῦτον δέουσι χάριν ἔχειν

ὑπεροχάς · prestantias excellentias

παραγιγνώσκοντες

ἀγελαίων σοφιστῶν

ῥαψῳδοῦντες

ἐῤῥημένων, τὰ χαριέστατα μνημονεύοντες· ἀποδεξάμενων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν, εἶτα τὸν τολμηρότατον ἐκείνων ἐπιχειρῆσαι μεδιαβάλλειν, λέγον θ' ὡς ἐγὼ πάντων καταφρονῶ τῶν τοιούτων· καὶ τάς τε φιλοσοφίας τὰς τῶν ἄλλων, καὶ τὰς παιδείας ἁπάσας ἀναιρῶ· καὶ φημὶ πάντας ληρεῖν, πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς· τούτων δὲ ἐρηθέντων ἀηδῶς τινὰς τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς· ὡς μὲν οὖν ἐλυπήθην καὶ συνεταράχθην ἀκούσας ἀποδεξαμένας τιμᾶς τοὺς λόγους τούτους εἶναι ἐμούς, οὐκ ἂν διισχυρίσαιμι· εἰ πεῖν· ὤμην γὰρ οὕτως ἐπιφανῆναι τοῖς ἀλαζονευομένοις πολεμῶν· καὶ περὶ ἐμαυτοῦ μετρίως διεφλεγμένος· μᾶλλον δὲ ταπεινῶν· ὥστε μηδ' ἐνθυμεῖσθαι τι τῶν λεγόντων ὡς ἐγὼ τοιαῦταις ἀλαζονείαις ἐχρησάμην· ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν τὴν παρακολουθήσασαν ἡμῖν πάντα τὸν χρόνον τοῖς τοιούτοις· αὕτη γὰρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας τῆς περὶ ἐμὲ γιγνομένης· καὶ τῶν διαβολῶν καὶ τοῦ φθόνου· καὶ τοῦ μὴ δύνασθαι ἀμετυχεῖν τῆς δόξης ἧς ἀξιοῦμεν· μὴ δὲ τῆς ὁμολογουμένης· μὴ δὲ ἣν ἔχουσι τιμῆς τῶν πλησιακότων ἐμοί· καὶ παντάχῃ τεθεωρηκότων ἡμᾶς· ταῦτα μὲν οὖν οὐχοῖόν τε ἄλλως ἔχειν· ἀλλ' ἀναγκαῖα ἔργα τοῖς ἤδη συμβεβηκόσι· πολλῶν δὲ ἐμοὶ λόγων ἐφεστώτων· ἀπορῶ πότερον ἀντικατηγορῶν τῶν ἔθισμένων ἄττι ψευδεσθαι περὶ ἐμοῦ γενήσομαι· καὶ λέγειν ἀμφοτέρωθεν τολμῶν· ἀλλ' ἔφαν ἔνια σοφίζωμαι· καὶ πολλοὺς λόγους ποιούμενος περὶ ἀνθρώπων οὓς οὐδ' ὑπέλαβεν ἀξίους εἶναι λόγου· δικαίως ἂν μωρὸς εἶναι δοκοίην· ἀλλὰ τούτους ὑπεριδὼν ὡς φθονοῦντας· πρῶμαι διδάσκειν αὐτοὺς ὡς οὐ δικαίως· οὐδὲ προσήκοντος περὶ ἐμοῦ ταύτην ἔχουσιν τὴν γνώμην· καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν· εἰ τοὺς μὴ ἐν δὲ ἕτερον δυσκόλως πρὸς με διακειμένους· ἢ τὸ δοκεῖν χαριεντῶς εἰρηκέναι περὶ τινῶν· τούτους οἰηθείη ὁμοίως διαλεχθῆναι ὥσπερ πρότερον πάνυ σφόδρα ἐπὶ τοῖς λεγομένοις λυπουμένους· ἀλλ' οὐ μᾶλλον ἀλγήσειν· ἀλλ' ὡς τε ἂν καὶ φανῶ μὴ δεῦν πωλικοῦ τοῦ ὄνου· μὴ παραληρῶν·

Η 11

ἀντικατηγορῶν

μωρός

τὰ χαριέστατα μεμνημονεύοντες

τὰ χαριέστατα μνημονεύοντες

τεθεωρηκότων

ἔρεσθαι

ἀντικατηγορῶν

παραληρῶν

καταγνοίη

καταβάλλοντι

συγκλείσας

φορτικῶς

ἀλλὰ μὴν οὐδ' ἐκφῦσαι ποιεῖν οὐδ' ἔστ' ἄν μοι συμβουλεύσαιμι,
ἀμελήσαντι τούτων καὶ καταβάλλοντι περαίνειν τὸν λόγον
ὃν προήρημαι βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλείστων
ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς ἕλλησιν, ἢ τὴν λακεδαιμονίων. εἰ γὰρ τοῦτο νῦν ἐποιούμην, μήτε τέλος ἐπιθεῖς τοῖς
γεγραμμένοις, μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι
μελλόντων, τὴν τελευτὴν τῶν νῦν προῃρημένων, ὅμοιος ἂν εἶναι
δόξαιμι τοῖς ἀκρίβειαν καὶ φορτικῶς καὶ χυδὴν ὅτι ἂν ἐπέλθῃ λέγουσιν. ἀφυλάκτεον ἡμῖν ἐστι. κρατίστον οὖν ἐξ ἁπάντων τούτων
περὶ ὧν ἐξ ἀρχῆς διεμνήσθην εἰπεῖν· οἶμαι γὰρ ἂν ἐξεμεῖν γράψας καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην περὶ τε τῆς παιδείας καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας καὶ λέγοντας ὅτι ἂν τύχωσιν. ἀλλ' ὅμως ἐγὼ
τοῖς ὡρμημένοις ἐπὶ ταῦτα, παρακελεύω μὴ πρόσω, καὶ
μὴ προσεχεῖν τὸν νοῦν ἅπασι τούτοις· λέγω, ὡς εἰ καὶ μηδὲν
ἄλλο διώκεται τὰ μαθήματα ταῦτα, ἀλλ' οὖν ἀποτρέπειν τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων· τοῖς
μὲν οὖν ἡλικιώτοις, οὐδὲ πώποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων, οὐδὲ μᾶλλον πρεπούσας.
τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις, οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν· ὁρῶ
γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων, ὥστε καὶ τοὺς ἄλλους διδάσκειν, οὐτ' εὐκαίρως
ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους· ἐν τε ταῖς ἄλλαις
πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν
μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν· τὴν αὐτὴν δὲ γνώμην ἔχω, καὶ περὶ τῶν δημηγορεῖν διωαμένων· καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων ἀδοκιμούντων· ὅλως δὲ καὶ
περὶ ἁπάντων τῶν τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων· οἶδα γὰρ καὶ τούτων τοὺς πολλούς, οὔτε τὰ περὶ σφᾶς αὐτοὺς καλῶς διοικήσαντας· οὔτε ταῖς ἰδίαις
οἰκουσίαις ἀμείνους ὄντας· τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντας· ἄλλωνί τε πολλῶν καὶ μεγάλων ἁμαρτημάτων γεμόντας· ὥστ' οὐδὲ τούτους ἡγοῦμαι μεταστῆσαι τῆς ἕξεως περὶ ἣν ἐγὼ τυγχάνω διαλεγόμενος· τίνας οὖν ἐστι πεπαιδευμένους, ἐπιδεῖξαι τὰς τελευτὰς τῶν ἐπιτηδευμάτων καὶ τὰς ἐπιστήμας, καὶ τὰς δυνάμεις ἀποδοκιμάζω· πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι· καὶ τὴν
δόξαν ἐπιτυχεῖν τῶν καιρῶν ἔχοντας· καὶ δυναμένην ὡς ἐπὶ
τὸ πολὺ τοξάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι·
καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας, ὁλόκληρος καὶ
ῥαδίως φέροντας· σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτέρους
καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι δὲ τοὺς
μὲν τῶν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν
ἡττωμένους· ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους· καὶ
τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν· τέταρτον ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν ἀπραγιῶν· μὴ δ' ἐξαμιλλαμένους αὐτῶν· μὴ δ' ὑπερηφανοῦντας γιγνομένους· ἀλλ' ἐμμένοντας τῇ τάξει τῶν ἀφρονούντων· καὶ
μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς,
ἢ τοῖς διὰ τὴν αὐτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις· τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων, ἀλλὰ πρὸς ἅπαντα ταῦτα, τὴν ἕξιν τῆς ψυχῆς ἀνάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους εἶναι καὶ τελεῖν ἄνδρας καὶ πᾶσας ἔχειν τὰς ἀρετάς· περὶ μὲν οὖν πεπαιδευμένων, ταῦτα γνώσκω τυγχάνω· περὶ δὲ τῆς ὁμήρου καὶ τῶν ἄλλων ποιήσεων, ἐπιθυμῶ μὲν εἰπεῖν· οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ λυκίῳ ῥαψῳδοῦντας τὰ ἐκείνων καὶ ληροῦντας τὰ περὶ αὐτῶν.
αἰσθάνομαι δὲ ἐμαυτὸν ἔξω φερόμενον τῆς συμμετρίας τῆς
συντεταγμένης τοῖς προοιμίοις· ἔστι δ' ἀνδρὸς μοῦνος ἔχοντος,
μὴ τὴν ἀπορίαν ἀγαπᾶν, ἣν ἔχει τις περὶ τῶν αὐτῶν πλείω
τῶν ἄλλων εἰπεῖν· ἀλλὰ τὴν ἀκαιρίαν διαφυλάττειν, περὶ
ὧν ἂν εἰς τυχάνῃ διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστί·
περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἢν μνείαν προαιρῆ
τὸ γῆρας· περὶ γὰρ ἀσυδαιστέρων πραγμάτων ἔχομεν λέγειν, ἢ τούτων· περὶ δὲ τῶν τῆς πόλεως ἀρετῶν τῶν εἰς
τοὺς ἕλληνας, ἢ δὴ ποιήσομαι τοὺς λόγους· οὐχ ὡς οὐ πλείους
ἐπαίνους πεποιημένος περὶ αὐτῆς, ἢ συμπαρεστοῖ περὶ

τίνας ἔχει πεπαιδευμένους

ὁ ἰσοκράτης δόξαν ἐπιτυχῆ τῶν καιρῶν

ἐλαφροτέρους

τελεῖν

(ἢ. συμπεταγμένης τοῖς προοιμίοις

ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν. proco quod latine dicimus ne oriam formoy.

ἕξις

φυλακτέον

καταβαλλοντι

συγκλείσας

φορτικῶς

χυδὴν

ἕξις

τοξάζεσθαι τοῦ συμφέροντος

ἐπιτυχῆ

ἐλαφροτέρους

τελεῖν

τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως· καὶ μὴν·
τότε μὲν γὰρ ἐν τοῖς λόγοις περὶ ἑτέρων πραγμάτων ἐ-
μεμνήμην αὐτῆς· νῦν δὲ περὶ ταύτης τὴν ὑπόθεσιν ποιη-
σάμενος· οὐκ ἀγνοῶ δὴ ἡλίκος ὤν, ὅσον ἔργον ἐπιχειρῶ τὸ
μέγεθος· ἀλλὰ κριβῶς οἶδα, καὶ πολλάκις ἤκουσα ὅτι
τὰ μὲν μικρὰ τῶν πραγμάτων ῥάδιον τοῖς λόγοις αὐξῆ-
σαι· τοῖς δὑπερβάλλουσι τῶν ἔργων καὶ τῷ μεγέθει καὶ
τῷ κάλλει, χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους· ἀλλ' οὐδὲν
μᾶλλον ἀποστατέον ἐστὶν αὐτῶν· ἀλλ' ἐπιτελεστέον ἣν περ
ἔτι ζῆν δυνηθῶμεν· ἄλλως τε καὶ πολλῶν παροξυνόντων
γράφειν αὐτόν· πρῶτον μὲν τῶν θέσι μεμνῆσθαι ἀναγκαῖον κα-
τηγορεῖν τῆς πόλεως ἡμῶν· ἔπειτα τῶν χαριεντῶς μὲν,
ἀπείρως δὲ καὶ κατὰ δεξιὰ ἑτέρως ἐπαινούντων αὐτὴν· ἔτι
δὲ τῶν ἑτέρων μᾶλλον δὲ λεγόντων τολμώντων οὐκ ἀνθρωπίνως,
ἀλλ' οὕτως ὥστε πολλοὺς ἀντιτάττεσθαι πρὸς αὐτοὺς·
πάντων δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης, ἣ τοὺς
ἄλλους πέφυκεν ἀποτρέπειν· ἐλπίζω γάρ, ἣν μὲν κατορθῶ
σω μείζω λήψεσθαι δόξαν τῆς ὑπαρχούσης· ἣν δὲ ἐν δὲ
ἑτέρου τύχω διαλεχθείς, πολλῆς συνήσομεν τεύξεσθαι πα
ρὰ τῶν ἀκουόντων· ἃ μὲν οὖν ἐβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ
περὶ τῶν ἄλλων ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος προαμα
βαλέσθαι ταῦτά ἐστιν· ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομέ-
νους ἐγκωμιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίω-
ς, μὴ μόνον ποιεῖσθαι περὶ αὐτῆς τοὺς λόγους ἧς προ-
φρημένοι τυγχάνουσιν, ἀλλ' ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυ-
σὸν θεωροῦμεν καὶ δοκιμάζομεν ἕτερα παραδεικνύντες,
τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων καὶ τῆς τιμῆς τῆς αὐ-
τῆς ἀξιοῦμεν, οὕτω καὶ τὰς πόλεις παριστάναι, μὴ τὰς
μικρὰς τοῖς μεγάλοις, μὴ δὲ τοῖς πάντα τὸν χρόνον ὑ-
φ' ἑτέραις οὔσαις, τοῖς πάντα τὸν χρόνον ἀρχεῖν θέσι μένας·
μὴ δὲ τοῖς σώζεσθαι δεομένοις πρὸς τὰς σώζειν δυναμέ
νοις· ἀλλὰ τοῖς παραπλησίαν καὶ τὴν δύναμιν ἐχούσας,
καὶ περὶ τοῖς αὐτοῖς πράξεσι γεγενημένοις, καὶ τοῖς ἐξου-
σίαις ὁμοίαις κεχρημένοις· οὕτω γὰρ ἂν μάλιστα τῆς ἀ-
ληθείας τύχοιεν· ἣν δ' ἥτις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται

ἡλίκος

ἀστεῖος

ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος

πορφύρα

χρυσός

παραδεικνύντες

παρίστανται

χορὸς πρὸ τοῦ ἀγῶνος

προαμαβαλέσθαι

παραδεικνύντες

παρίστανται

Compari.

καὶ παραβάλλειν μὴ πρὸς τὴν τυχοῦσαν πόλιν, ἀλλὰ πρὸς
τὴν ἀρετὴν αὐτῶν· ἣν οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δὲ
τινες ὥσπερ τῶν ἡμιθέων ἐκείνων πολιτευομένων μεμνῆνται
περὶ αὐτῶν, φανήσομεθα καὶ τῇ διανοίᾳ καὶ ταῖς πράξεσι καὶ
ταῖς δὲ πραγίαις ταῖς περὶ τοὺς ἕλληνας, πλείω ἀπολελοι-
πότες αὐτοὺς, ἢ ἐκείνοι τοὺς ἄλλους· τοὺς μὲν οὖν παλαιοὺς ἀφῶ
μεν, τοὺς ὑπὲρ τῶν ἑλλήνων γενομένους ὕστερον ἐροῦμεν· νῦν δὲ
ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους ἀρξάμενος· ἐπειδὴ κατέ
σχον τὰς πόλεις τὰς ἀχαΐδας, πρὸς ἀργείους καὶ μεσσηνίους
διέλυον τὴν χώραν· ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ
αὐτῶν· οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι, φανήσονται τήν τε πρὸς
τοὺς ἕλληνας ὁμονοίαν, καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν ἣν
παρέλαβον ἐκ τῶν τρωϊκῶν διαφυλάττοντες· καὶ μένοντες
ἐν τοῖς αὐτοῖς· καὶ πρῶτον μὲν τὰς κυκλάδας νήσους,
περὶ ἃς ἐγένετο πολλὰ πράγματα, κατὰ τὴν μίνω τοῦ
κρητός δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ καρῶν κα
τεχομένας ἐκβαλόντες ἐκείνους, οὐκ ἐξιδιώσασθαι τὰς
χώρας ἐτόλμησαν· ἀλλὰ τοὺς μάλιστα βίου τῶν ἑλλήνων
δεομένους κατῴκισαν ἐς αὐτάς· καὶ μετὰ ταῦτα πολ-
λὰς πόλεις ἑφεκάτερα τῆς ἠπείρου καὶ μεγάλας ἔκτισαν· καὶ
τοὺς μὲν βαρβάρους ἀνέστησαν ἀπὸ τῆς θαλάττης· τοὺς
δὲ ἕλληνας ἐδίδαξαν ὃν τρόπον διοικοῦντες τὰς αὐτῶν
πατρίδας καὶ πρὸς οὓς πολεμοῦντες, μεγάλην τὴν ἑλ-
λάδα ποιήσειαν· λακεδαιμόνιοι δὲ περὶ τὸν αὐτὸν χρόνον
τοσοῦτον ἀπέσχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμε-
τέροις, καὶ τοῦ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δὲ ἕλλη-
νας εὐεργετεῖν, ὥστ' οὐδὲ ἡσυχίαν ἄγειν ἠθέλησαν· ἀλλ' ἔχον-
τες πόλιν ἀλλοτρίαν καὶ χώραν οὐ μόνον ἱκανὴν, ἀλλ' ὅσον
οὐδὲ μία πόλις τῶν ἑλληνίδων, οὐκ ἐστέρξαν ἐπὶ τούτοις·
ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων· κατὰ μὲν
τοὺς νόμους, τάς τε πόλεις καὶ τὰς χώρας τούτων ἡ-
μᾶς δοκούσας τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων· κατὰ
δὲ τὴν ἀλήθειαν τούτων γιγνομένας τῶν τὰ περὶ τὸν πό
λεμον καλλίστα δρώντων· καὶ νικᾶν τοὺς πολεμίους ἐν
ταῖς μάχαις διωμένων· ταῦτα διανοηθέντες· ἀμελή-

παραβάλλειν

ἀπολελοιπότες αὐτούς

κυκλάδες

ἐξιδιώσασθαι

κατῴκισαν

ἀνέστησαν

ἐστέρξαν

ἀπολελοιπότες

ἐξιδιώσασθαι

κατῴκισαν

σαντες γεωργιῶν καὶ τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐ
δὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην τῶν πόλεων τῶν ἐν πε-
λοποννήσῳ πολιορκοῦντες, καὶ κακῶς ποιοῦντες καταφρέ-
ψαντες τὴν τῆς ἀγείων συμβαίνειν οὖν ἐξ ὧν μὲν ἡμεῖς
ἐπράττομεν, αὐξάνεσθαι τὴν ἑλλάδα· καὶ τὴν ῥώμην κρείτ-
τω γίνεσθαι τῆς οὐσίας· καὶ πρὸς τούτοις τῶν μὲν ἑλλήνων
τοὺς ἀποροῦντας πόλεσι λαμβάνειν καὶ χώρας· τῶν δὲ
βαρβάρων τοὺς ἀθυμοῦντας ὑβρίζειν, ἐκπίπτειν τῆς αὐτῶν, καὶ
φρονεῖν ἐλάττονα ἢ πρότερον· ἐξ ὧν δὲ ἀναρτιᾶται, τὴν ἐκείνων
μόνην μεγάλην γίνεσθαι· καὶ πασῶν μὲν τῶν ἐν πελοποννή-
σῳ πόλεων ἀρχειν ταῖς ἄλλαις φανεραὶ εἶναι· καὶ πολλῆς
θεραπείας τυγχάνειν παρ' αὐτῶν· ἐπαινεῖν μὲν οὖν δίκαιον ἐ-
στι, τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν γενομένην· δεῖ
μὴν δὲ νομίζειν τὴν αὐτῆς τὰ συμφέροντα διὰ πραττομένην·
καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως αὐτοῖς τε καὶ τοῖς
ἄλλοις χρωμένους· φοβεῖσθαι δὲ καὶ δεδιέναι, τοὺς πρὸς
σφᾶς μὲν αὐτοὺς ὥς διαφθορεῖς, οἰκείως ἔχοντας διακειμένους·
πρὸς δὲ τοὺς ἄλλους ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὐ-
τῶν διοικοῦντας. τὴν μὲν οὖν ἀρχὴν ταύτην πολέοιν ἑκατέρα,
τοιαύτην ἐποιήσατο· χρόνῳ δ' ὕστερον γενομένου τοῦ περσι-
κοῦ πολέμου, καὶ ξέρξου τοῦ τότε βασιλεύοντος, τριήρεις μὲν
συναγαγόντος διακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρα-
τιᾶς, πεντακοσίας μυριάδας τῶν πάντων, ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτην δὲ δυνάμει στρατεύσαντος ἐπὶ τοὺς ἕλληνας, ἀναρτιᾶται μὲν ἀρχόντεσ πελο-
ποννησίων, ἔσ τὴν ναυμαχίαν τὴν ποιήσασαν τροπὴν ἀπαντος τοῦ πολέμου, δέκα μόνον σὺν ἐβάλοντο τριήρεσ· οἱ δὲ
παλαιοὶ ἡμῶν ἀμάχοι γενόμενοι, καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ τὸ μὴ τολμᾶν κατὰ κράτος τὸν χρόνον κρείττους ναῦς
παρεσχόμενοι καὶ μείζω δύναμιν ἔχουσαν, ἢ σύμπαντεσ οἱ
κινδυνεύσαντεσ· καὶ στρατηγόν, οἱ μὲν, εὐρυβιάδην· ὃν δὲ τέλος
ἐπέθηκεν οἷσ διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολω-
λέναι τοὺς ἕλληνας· οἱ δὲ ἡμέτεροι θεμιστοκλέα τὸν ὁμολο-
γουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα, καὶ τοῦ τὴν ναυμα-
χίαν γενέσθαι κατὰ τρόπον, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν

ξέρξου στρατιά
exercitus Xerxis

εὐρυβιάδης

θεμιστοκλῆς

ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων· τεκμήριον δὲ μέγιστον· ἀ-
φελόμενοι γὰρ λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυ-
νεύσαντεσ, τοῖς ἡμετέροις παρέδοσαν· καίτοι τίνασ ἄν-
τισ κριτὰς ἱκανοτέρους ποιήσαιτο, καὶ πιστοτέρους τῶν
τότε πραχθέντων, ἢ τοὺς ἐν αὐτοῖς τοῖς κινδύνοις παρα-
γενομένους· τίνα δ' ἄν τισ ἀρετὴν ἀπῆν ἔχοι ταύτης
μείζω τῆς ἁπάσαν τὴν ἑλλάδα σῶσαι δυνηθείσης; μετὰ
ταῦτα τοίνυν συνέβη κυριαν ἑκατέραν γενέσθαι τῆς ἀρ-
χῆς τῆς κατὰ θάλατταν· ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑ-
πήκοους ἔχουσι τὰς πλείστας τῶν πόλεων· ὅλως μὲν οὖν,
οὐδ' ἑτέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τισ αὐταῖς ἐπιτιμήσειεν·
οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐκ ἔλαττον αὐ-
τῶν διήμαρτεν, ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον
δηλωθείσας· οἱ μὲν γὰρ ἡμέτεροι πατέρες, ἔπειθον τοὺς συμμά-
χους ποιεῖσθαι πολιτείαν τοιαύτην, ἣν περ αὐτοὶ διετέλουν
ἀγαπῶντεσ· ὅσ ἡμῖν ἔστιν ὁμοιάσ καὶ φιλίας· ὅτ' ἄν τι-
μεσ παραινῶσι τοῖσ ἄλλοις χρῆσθαι τούτοις, ἃ περ ἂν σφί-
σιν αὐτοῖσ συμφέρειν ὑπολαμβάνωσιν· λακεδαιμόνιοι δὲ κα-
τέστησαν, οὐθ' ὁμοίαν τῆ παρ' αὐτοῖσ· οὔτε τὰσ ἄλλοθί που
γενομένας· ἀλλὰ δέκα μόνους ἄνδρας ἑκάστης πόλεως ἐποίη-
σαν· ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν, τρεῖς ἢ τέτταρασ ἡμέ-
ρας συνεχῶς, οὐδ' ἐν ἂν μέροσ ἀρκέσαι δόξειε τῶν ἐκείνοισ ἡ-
μαρτημένων· καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων,
καὶ τοσούτων τὸ πλῆθος, ἄπορον τὸν ἔστιν· ὀλίγα δὲ καὶ τῶν πάντων
εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσουσι τῶν πε-
πραγμένων, νεώτερον μὲν οὖν ἴσως ἐξεῦρον· νῦν δ' οὐδὲν ἐπέρ-
χεται· οἱ τοιοῦτο· ἀλλὰ παρὰ πᾶσιν, ὅτι τοσοῦτον ἐκείνοι
δὴ τὴν ἐλκαν, ἀνομία καὶ πλεονεξίαν, τῶν προγεγενημένων, ὥσ-
τ' οὐ μόνον αὐτοὺσ ἀπώλεσαν, καὶ τοὺσ φίλουσ, καὶ τὰσ
πατρίδασ τὰσ ἑαυτῶν· ἀλλὰ καὶ λακεδαιμονίουσ πρὸσ
τοὺς συμμάχους διαβάλλοντεσ, ἃς τοιαύτας καὶ τοσαύτασ
συμφορὰς ἐνέβαλον, ὅσας οὐδὲ πώποτε αὐτοῖς γενέσθαι
προσεδόκησεν· μάλιστα μὲν οὖν ἐν τοῖς θεῶν ἄν τις δικαιωθείη κατὰ
δίκην, ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμῖν τῶν πραγμά-
